F. 443.
N. 4.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0001-3

00 W 9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0002-8

# LVCIANVS
DE
# CONSCRIBENDA HISTORIA

LIPSIAE
EX OFFICINA LANGENHEMIA
1768

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0003-4

Herodotus, Thucydides, Xenophon sunt exempla historicorum graec. reliqui sunt imitatores.

---

Ἀβδηρίταις, φασὶ, Λυσιμάχου ἤδη βασιλεύοντος, ἐμπεσεῖν τι νόσημα, ὦ καλὲ Φίλων, τοιοῦτο· πυρέττειν μὲν γὰρ τὰ πρῶτα πανδημεὶ ἅπαντας, ἀπὸ τῆς πρώτης εὐθὺς ἐῤῥωμένως, καὶ λιπαρεῖ τῷ πυρετῷ· περὶ δὲ τὴν ἑβδόμην τοῖς μὲν αἷμα πολὺ ἐκ ῥινῶν ῥυὲν, τοῖς δὲ ἱδρὼς ἐπιγενόμενος, πολὺς καὶ οὗτος, ἔλυσε τὸν πυρετὸν, ἐς γελοῖον δέ τι πάθος περιΐστη τὰς γνώμας αὐτῶν· ἅπαντες γὰρ ἐς τραγῳδίαν παρεκινοῦντο, καὶ ἰαμβεῖα ἐφθέγγοντο, καὶ μέγα ἐβόων, μάλιστα δὲ τὴν Εὐριπίδου Ἀνδρομέδαν ἐμονῴδουν, καὶ τὴν τοῦ Περσέως ῥῆσιν ἐν μέλει διεξῄεσαν, καὶ μεστὴ ἦν ἡ πόλις ὠχρῶν ἁπάντων καὶ λεπτῶν, τῶν ἑβδομαίων ἐκείνων τραγῳδῶν, „Σὺ δ', ὦ θεῶν τύραννε κἀνθρώπων, Ἔρως„ καὶ τἄλλα μωρὰ τῇ φωνῇ ἀναβοώντων, καὶ τοῦτο ἐπιπολὺ, ἄχρι δὴ χειμὼν καὶ κρύος δὲ μέγα γενόμενον ἔπαυσε ληροῦντας αὐτούς. Αἰτίαν δέ μοι δοκεῖ τοῦ τοιούτου παρασχεῖν Ἀρχέλαος ὁ τραγῳδὸς, εὐδοκιμῶν τότε, μεσοῦντος θέρους ἐν πολλῷ τῷ φλογμῷ τραγῳδήσας αὐτοῖς τὴν Ἀνδρομέδαν, ὡς πυρέξαι τε ἀπὸ τοῦ θεάτρου τοὺς πολλοὺς, καὶ ἀνα-

ἀναστάντας ὕστερον ἐς τὴν τραγῳδίαν παρολισθαίνειν, ἐπιπολὺ ἐμφιλοχωρούσης τῆς Ἀνδρομέδας τῇ μνήμῃ αὐτῶν, καὶ τοῦ Περσέως ἔτι σὺν τῇ Μεδούσῃ τὴν ἑκάστου γνώμην περιπετομένου.

2. Ὡς οὖν ἕν, φασιν, ἑνὶ παραβαλεῖν, τὸ Ἀβδηριτικὸν ἐκεῖνο πάθος καὶ νῦν τοὺς πολλοὺς τῶν πεπαιδευμένων περιελήλυθεν. οὐχ ὥστε τραγῳδεῖν· ἔλαττον γὰρ ἂν τοῦτο παρέπαιον, ἀλλοτρίοις ἰαμβείοις, οὐ φαύλοις, κατεσχημένοι· ἀλλ᾽ ἀφ᾽ οὗ δὴ τὰ ἐν ποσὶ ταῦτα κεκίνηται, ὁ πόλεμος ὁ πρὸς τοὺς βαρβάρους, καὶ τὸ ἐν Ἀρμενίᾳ τραῦμα καὶ αἱ συνεχεῖς νῖκαι, οὐδεὶς, ὅστις οὐχ ἱστορίαν συγγράφει, μᾶλλον δὲ Θουκυδίδαι, καὶ Ἡρόδοτοι, καὶ Ξενοφῶντες ἡμῖν ἅπαντες. Καὶ, ὡς ἔοικεν, ἀληθὲς ἄρ᾽ ἦν ἐκεῖνο, τὸ Πόλεμος ἁπάντων πατὴρ, εἴγε καὶ συγγραφέας τοσούτους ἀνέφυσεν, ὑπὸ μιᾷ τῇ ὁρμῇ.

3. Ταῦτα τοίνυν, ὦ Φιλότης, ὁρῶντα καὶ ἀκούοντά με τὸ τοῦ Σινωπέως ἐκεῖνο εἰσῆλθεν. Ὁπότε γὰρ ὁ Φίλιππος ἐλέγετο ἤδη ἐπελαύνειν, οἱ Κορίνθιοι πάντες ἐταράττοντο, καὶ ἐν ἔργῳ ἦσαν, ὁ μὲν ὅπλα ἐπισκευάζων, ὁ δὲ λίθους παραφέρων, ὁ δὲ ὑποικοδομῶν τοῦ τείχους, ὁ δὲ ἔπαλξιν ὑποστηρίζων, ὁ δὲ ἄλλος ἄλλο τι τῶν χρησίμων ὑπουργῶν. Ὁ δὴ Διογένης, ὁρῶν ταῦτα, ἐπεὶ μηδὲν εἶχεν, ὅ τι καὶ πράτ-

τοι

τοι· οὐδεὶς γὰρ αὐτῷ ἐς οὐδὲν ἐχρῆτο· διαζωσάμενος τὸ τριβώνιον, σπουδῇ μάλα καὶ αὐτὸς ἐκύλιε τὸν πίθον, ἐν ᾧ ἐτύγχανεν οἰκῶν, ἄνω καὶ κάτω τοῦ Κρανείου. Καί τινος τῶν συνήθων ἐρομένου, Τί ταῦτα ποιεῖς, ὦ Διόγενες, Κυλίω, ἔφη, κἀγὼ τὸν πίθον, ὡς μὴ μόνος ἀργεῖν δοκοίην ἐν τοσούτοις ἐργαζομένοις.

4. Καὐτὸς οὖν, ὦ Φίλων, ὡς μὴ μόνος ἄφωνος εἴην ἐν οὕτω πολυφώνῳ τῷ καιρῷ, μηδ', ὥσπερ κωμικὸν δορυφόρημα κεχηνὼς σιωπῇ παραφεροίμην, καλῶς ἔχειν ὑπέλαβον, ὡς δυνατόν μοι κυλίσαι τὸν πίθον, οὐχ ὡς ἱστορίαν συγγράφειν οὐδὲ πράξεις αὐτὰς διεξιέναι· οὐχ οὕτω μεγαλότολμος ἐγὼ, μηδὲ τοῦτο δείσῃς περὶ ἐμοῦ· οἶδα γὰρ, ἡλίκος ὁ κίνδυνος, εἰ κατὰ τῶν πετρῶν κυλίει τις, καὶ μάλιστα, οἷον τοὐμὸν τοῦτο πιθάκνιον, οὐδὲ πάνυ καρτερῶς κεκεραμευμένον· δεήσει γὰρ αὐτίκα μάλα, πρὸς μικρόν τι λιθίδιον προσπταίσαντα, συλλέγειν τὰ ὄστρακα. Τί οὖν ἔγνωσταί μοι, καὶ πῶς ἀσφαλῶς μεθέξω τοῦ πολέμου, αὐτὸς ἔξω βέλους ἑστὼς, ἐγώ σοι φράσω. Τούτου μὲν καπνοῦ, καὶ κύματος, καὶ φροντίδων, ὅσαι τῷ συγγράφειν ἔνεισιν, ἀνέξω ἐμαυτὸν, εὖ ποιῶν· παραίνεσιν δέ τινα μικρὰν, καὶ ὑποθήκας ταύτας ὀλίγας ὑποθήσομαι τοῖς συγγράφουσιν, ὡς κοινωνήσαιμι αὐτοῖς τῆς οἰκοδομίας, εἰ καὶ μὴ τῆς ἐπιγραφῆς, ἄκρῳ γε τῷ δακτύλῳ τοῦ πηλοῦ προσαψάμενος.

5. Καίτοι οὐδὲ παραινέσεως οἱ πολλοὶ δεῖν οἴονται σφίσιν ἐπὶ τὸ πρᾶγμα, οὐ μᾶλλον, ἢ τέχνης τινὸς ἐπὶ τὸ βαδίζειν, ἢ βλέπειν, ἢ ἐσθίειν· ἀλλὰ πάνυ ῥᾷστον, καὶ πρόχειρον, καὶ ἅπαντος εἶναι ἱστορίαν συγγράψαι, ἤν τις ἑρμηνεῦσαι τὸ ἐπελθὸν δύνηται. Τὸ δὲ οἶσθά που καὶ αὐτὸς, ὦ ἑταῖρε, ὡς οὐ τῶν εὐμεταχειρίστων, οὐδὲ ῥαθύμως συντεθῆναι δυναμένων τοῦτ' ἐστὶν, ἀλλὰ εἴ τι ἐν λόγοις καὶ ἄλλο πολλῆς τῆς φροντίδος δεόμενον, ἤν τις, ὡς ὁ Θουκυδίδης φησὶν, ἐς ἀεὶ κτῆμα συντιθείη. Οἶδα μὲν οὖν, οὐ πάνυ πολλοὺς αὐτῶν ἐπιστρέψων, ἐνίοις δὲ καὶ πάνυ ἐπαχθὴς δόξων, καὶ μάλιστα, ὁπόσοις ἀποτετέλεσται ἤδη καὶ ἐν τῷ κοινῷ δέδεικται ἡ ἱστορία. Εἰ δὲ καὶ ἐπήνηται ὑπὸ τῶν τότε ἀκροασαμένων, μανία, εἴγε ἐλπὶς, ὡς οἱ τοιοῦτοι μεταποιήσουσιν, ἢ μεταγράψουσί τι τῶν ἅπαξ κεκυρωμένων, καὶ ὥσπερ ἐς τὰς βασιλείους αὐλὰς ἀποκειμένων. Ὅμως δὲ οὐ χεῖρον, καὶ πρὸς αὐτοὺς ἐκείνους εἰρῆσθαι, ἵν', εἴ ποτε πόλεμος ἄλλος συσταίη, ἢ Κελτοῖς πρὸς Γέτας, ἢ Ἰνδοῖς πρὸς Βακτρίους, (οὐ γὰρ πρὸς ἡμᾶς γε τολμήσειεν ἄν τις, ἁπάντων ἤδη κεχειρωμένων) ἔχωσιν ἄμεινον συντιθέναι, τὸν κανόνα τοῦτον προσάγοντες, ἤνπερ γε δόξῃ αὐτοῖς ὀρθὸς εἶναι· εἰ δὲ μὴ, αὐτοὶ μὲν καὶ τότε τῷ αὐτῷ πήχει, ὥσπερ καὶ νῦν, μετρούντων τὸ πρᾶγμα. Ὁ ἰατρὸς δὲ οὐ πάνυ ἀνιάσεται, ἢν πάντες Ἀβδηρῖται ἑκόντες Ἀνδρομέδαν τραγῳδῶσι.

6. Διτ-

6. Διττȣ̃ δὲ ὄντος τȣ̃ τῆς συμβȣλῆς ἔργȣ· τὰ μὲν γὰρ αἱρεῖσθαι, τὰ δὲ φεύγειν διδάσκει· φέρε, πρῶτα εἴπωμεν, ἅτινα φευκτέον τῷ ἱςορίαν συγγράφοντι, καὶ ὧν μάλιςα καθαρευτέον· ἔπειτα, οἷς χρώμενος ȣ̓κ ἂν ἁμάρτοι τῆς ὀρθῆς καὶ ἐπ᾽ εὐθὺ ἀγȣ́σης, ἀρχήν τε οἵαν αὐτῷ ἀρκτέον, καὶ τάξιν ἥντινα τοῖς ἔργοις ἐφαρμοςέον, καὶ μέτρον ἑκάςȣ, καὶ ἃ σιωπητέον, καὶ οἷς ἐνδιατριπτέον, καὶ ὅσα παραδραμεῖν ἄμεινον, καὶ ὅπως ἑρμηνεῦσαι αὐτὰ καὶ συναρμόσαι. Ταῦτα μὲν καὶ τὰ τοιαῦτα ὕςερον· νῦν δὲ τὰς κακίας ἤδη εἴπωμεν, ὁπόσαι τοῖς φαύλως συγγράφȣσι παρακολȣθȣ̃σιν. Ἃ μὲν ȣ̓̃ν κοινὰ πάντων λόγων ἐςὶν ἁμαρτήματα, ἔν τε φωνῇ, καὶ ἁρμονίᾳ, καὶ διανοίᾳ, καὶ τῇ ἄλλῃ ἀτεχνίᾳ, μακρόν τε ἂν εἴη ἐπελθεῖν, καὶ τῆς παρȣ́σης ὑποθέσεως ȣ̓κ ἴδιον· κοινὰ γὰρ, ὡς ἔφην, ἁπάντων λόγων ἐςὶν ἁμαρτήματα, ἔν τε φωνῇ, καὶ ἁρμονίᾳ. Ἃ δὲ ἐν ἱςορίᾳ διαμαρτάνȣσι, τὰ τοιαῦτα ἂν εὕροις ἐπιτηρῶν, οἷα κᾀμοὶ πολλάκις ἀκροωμένῳ ἔδοξε, καὶ μάλιςα, ἢν ἅπασιν αὐτοῖς ἀναπετάσῃς τὰ ὦτα.

7. Οὐκ ἄκαιρον δὲ, μεταξὺ καὶ ἀπομνημονεῦσαι ἔνια, παραδείγματος ἕνεκα, τῶν ἤδη ȣ̔́τω συγγεγραμμένων. Καὶ πρῶτόν γε ἐκεῖνο ἡλίκον ἁμαρτάνȣσιν, ἐπισκοπήσωμεν. Ἀμελήσαντες γὰρ οἱ πολλοὶ αὐτῶν τȣ̃ ἱςορεῖν

τὰ γεγενημένα, τοῖς ἐπαίνοις ἀρχόντων καὶ στρατηγῶν ἐνδιατρίβουσι, τοὺς μὲν οἰκείους ἐς ὕψος ἐπαίροντες, τοὺς πολεμίους δὲ πέρα τοῦ μετρίου καταῤῥίπτοντες, ἀγνοοῦντες, ὡς οὐ στενῷ τῷ ἰσθμῷ διώρισται καὶ διατετείχισται ἡ ἱστορία πρὸς τὸ ἐγκώμιον, ἀλλά τι μέγα τεῖχος ἐν μέσῳ ἐστὶν αὐτῶν, καὶ τὸ τῶν μουσικῶν δὴ τοῦτο, δὶς διὰ πασῶν, ἐστὶ πρὸς ἄλληλα, εἴγε τῷ μὲν ἐγκωμιάζοντι μόνου ἑνὸς μέλει, ὅπως οὖν ἐπαινέσαι καὶ εὐφρᾶναι τὸν ἐπαινούμενον, καὶ, εἰ ψευσαμένῳ ὑπάρχει τυχεῖν τοῦ τέλους, ὀλίγον ἂν φροντίσειεν· ἡ δὲ οὐκ ἄν τι ψεῦδος ἐμπεσὸν ἡ ἱστορία, οὐδ᾽ ἀκαριαῖον ἀνάσχοιτο, οὐ μᾶλλον, ἢ τὴν ἀρτηρίαν ἰατρῶν παῖδές φασι τὴν τραχεῖαν παραδέξασθαι ἄν τι, ἐς αὐτὴν καταποθέν.

8. Ἔτι ἀγνοεῖν ἐοίκασιν οἱ τοιοῦτοι, ὡς ποιητικῆς μὲν καὶ ποιημάτων ἄλλαι ὑποσχέσεις καὶ κανόνες ἴδιοι· ἱστορίας δὲ ἄλλοι. Ἐκεῖ μὲν γὰρ ἀκρατὴς ἡ ἐλευθερία, καὶ νόμος εἷς, τὸ δόξαν τῷ ποιητῇ· ἔνθεος γὰρ καὶ κάτοχος ἐκ Μουσῶν· κἂν ἵππων ὑποπτέρων ἅρμα ζεύξασθαι θέλῃ, κἂν ἐφ᾽ ὕδατος ἄλλους ἢ ἐπ᾽ ἀνθερίκων ἄκρων θευσομένους ἀναβιβάσηται. Φθόνος οὐδείς· οὐδ᾽, ὁπόταν ὁ Ζεὺς αὐτῶν ἀπὸ μιᾶς σειρᾶς ἀνασπάσας αἰωρῇ ὁμοῦ γῆν καὶ θάλατταν, δεδίασι, μή, ἀποῤῥαγείσης ἐκείνης, συντριβῇ τὰ πάντα κατενεχθέντα. Ἀλλὰ κἂν Ἀγαμέμνονα ἐπαινέσαι θέλωσιν, οὐδεὶς ὁ κωλύσων,

λύσων, Διῒ μὲν αὐτὸν ὅμοιον εἶναι τὴν κεφαλὴν καὶ τὰ ὄμματα, τὸ στέρνον δὲ τῷ ἀδελφῷ αὐτοῦ, τῷ Ποσειδῶνι, τὴν δὲ ζώνην τῷ Ἄρει· καὶ ὅλως, σύνθετον ἐκ πάντων θεῶν γενέσθαι δεῖ τὸν Ἀτρέως καὶ Ἀερόπης· οὐ γὰρ ἱκανὸς ὁ Ζεὺς, οὐδ' ὁ Ποσειδῶν, οὐδ' Ἄρης μόνος ἕκαστος, ἀναπληρῶσαι τὸ κάλλος αὐτοῦ. Ἡ ἱστορία δὲ, ἤν τινα κολακείαν τοιαύτην προσλάβῃ, τί ἄλλο, ἢ πεζή τις ποιητικὴ γίγνεται, τῆς μεγαλοφωνίας μὲν ἐκείνης ἐστερημένη, τὴν λοιπὴν δὲ τερατείαν, γυμνὴν τῶν μέτρων, καὶ δι' αὐτὸ ἐπισημοτέραν, ἐκφαίνουσα; Μέγα τοίνυν, μᾶλλον δὲ ὑπέρμεγα τοῦτο κακὸν, εἰ μὴ εἰδείη τις χωρίζειν τὰ ἱστορίας καὶ τὰ ποιητικῆς, ἀλλ' ἐπεισάγοι τῇ ἱστορίᾳ τὰ τῆς ἑτέρας κομμώματα, τὸν μῦθον, καὶ τὸ ἐγκώμιον, καὶ τὰς ἐν τούτοις ὑπερβολάς. Ὥσπερ ἂν εἴ τις ἀθλητὴν τῶν καρτερῶν τούτων, καὶ κομιδῇ πρινίνων, ἀλουργίσι περιβάλοι, καὶ τῷ ἄλλῳ κόσμῳ τῷ ἑταιρικῷ, καὶ φύκιον ἐντρίβοι καὶ ψιμύθιον τῷ προσώπῳ, Ἡράκλεις, ὡς καταγέλαστον αὐτὸν ἀπεργάσαιτο, αἰσχύνας τῷ κόσμῳ ἐκείνῳ.

9. Καὶ οὐ τοῦτό φημι, ὡς οὐχὶ καὶ ἐπαινετέον ἐν ἱστορίᾳ ἐνίοτε, ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι ἐπαινετέον, καὶ μέτρον ἐπακτέον τῷ πράγματι, τὸ μὴ ἐπαχθὲς τοῖς ὕστερον ἀναγνωσομένοις αὐτὰ, καὶ ὅλως, πρὸς τὰ ἔπειτα κανονιστέον τὰ τοιαῦτα, ἅπερ μικρὸν ὕστερον ἐπιδείξομεν. Ὅσοι δὲ οἴονται καλῶς διαιρεῖν

εἰς δύο τὴν ἱστορίαν, εἰς τὸ τερπνὸν καὶ χρήσιμον, καὶ διὰ τοῦτο εἰσποιοῦσι καὶ τὸ ἐγκώμιον εἰς αὐτὴν, ὡς τερπνὸν, καὶ εὐφραῖνον τοὺς ἐντυγχάνοντας, ὁρᾷς, ὅσον τἀληθοῦς ἡμαρτήκασι, πρῶτον μὲν κιβδήλῳ τῇ διαιρέσει χρώμενοι· ἓν γὰρ ἔργον ἱστορίας καὶ τέλος, τὸ χρήσιμον, ὅπερ ἐκ τοῦ ἀληθοῦς μόνου συνάγεται· τὸ τερπνὸν δὲ, ἄμεινον μὲν, εἰ καὶ αὐτὸ παρακολουθήσειεν, ὥσπερ καὶ κάλλος ἀθλητῇ· εἰ δὲ μὴ, οὐδὲν κωλύσει, ἀφ' Ἡρακλέους γενέσθαι Νικόστρατον τὸν Ἰσιδότου, γεννάδαν ὄντα, καὶ τῶν ἀνταγωνιστῶν ἑκατέρων ἀλκιμώτερον, εἰ αὐτὸς μὲν αἴσχιστος ὀφθῆναι εἴη τὴν ὄψιν, Ἀλκαῖος δὲ ὁ καλὸς, ὁ Μιλήσιος, ἀνταγωνίζοιτο αὐτῷ, καὶ ἐρώμενος, ὥς φασι, τοῦ Νικοστράτου ὤν. Καὶ τοίνυν ἡ ἱστορία, εἰ μὲν ἄλλως τὸ τερπνὸν παρεμπορεύσαιτο, πολλοὺς ἂν τοὺς ἐραστὰς ἐπισπάσαιτο· ἄχρι δ' ἂν καὶ μόνον ἔχῃ τὸ ἴδιον ἐντελὲς, λέγω δὲ τὴν τῆς ἀληθείας δήλωσιν, ὀλίγον τοῦ κάλλους φροντιεῖ.

10. Ἔτι κἀκεῖνο εἰπεῖν ἄξιον, ὅτι οὐδὲ τερπνὸν ἐν αὐτῇ τὸ κομιδῇ μυθῶδες, καὶ τὸ τῶν ἐπαίνων μάλιστα πρόσαντες παρ' ἑκάτερον τοῖς ἀκούουσιν, ἢν μὴ τὸν συρφετὸν καὶ τὸν πολὺν δῆμον ἐπινοήσαις, ἀλλὰ τοὺς δικαστικῶς, καὶ, νὴ Δία, συκοφαντικῶς προσέτι γε ἀκροασομένους, οὓς οὐκ ἄν τι λάθοι παραδραμὸν, ὀξύτερον μὲν τοῦ Ἄργου ὁρῶντας, καὶ πανταχόθεν τοῦ σώματος, ἀργυραμοιβικῶς δὲ τῶν λεγομένων ἕκαστα ἐξετάζον-

τάζοντας, ὡς τὰ μὲν παρακεκομμένα εὐθὺς ἀποῤῥίπτειν, παραδέχεσθαι δὲ τὰ δόκιμα, καὶ ἔννομα, καὶ ἀκριβῆ τὸν τύπον. Πρὸς οὓς ἀποβλέποντα χρὴ καὶ συγγράφειν, τῶν δ' ἄλλων ὀλίγον φροντίζειν, κἂν διαῤῥαγῶσιν ἐπαινοῦντες. Ἢν δ', ἀμελήσας ἐκείνων, ἡδύνῃς πέρα τοῦ μετρίου τὴν ἱστορίαν μύθοις, καὶ ἐπαίνοις, καὶ τῇ ἄλλῃ θωπείᾳ, τάχιστ' ἂν ὁμοίαν αὐτὴν ἐξεργάσαιο τῷ ἐν Λυδίᾳ Ἡρακλεῖ. ἑωρακέναι γάρ που σε εἰκὸς γεγραμμένον, τῇ Ὀμφάλῃ δουλεύοντα, πάνυ ἀλλόκοτον σκευὴν ἐσκευασμένων, ἐκείνην μὲν τὸν λέοντα αὐτοῦ περιβεβλημένην, καὶ τὸ ξύλον ἐν τῇ χειρὶ ἔχουσαν, ὡς Ἡρακλέα δῆθεν οὖσαν· αὐτὸν δὲ, ἐν κροκωτῷ καὶ πορφυρίδι, ἔρια ξαίνοντα, καὶ παιόμενον ὑπὸ τῆς Ὀμφάλης τῷ σανδάλῳ· καὶ τὸ θέαμα αἴσχιστον, ἀφεστῶσα ἡ ἐσθὴς τοῦ σώματος, καὶ μὴ προσιζάνουσα, καὶ τοῦ θεοῦ τὸ ἀνδρῶδες ἀσχημόνως καταθηλυνόμενον.

11. Καὶ οἱ μὲν πολλοὶ ἴσως καὶ ταῦτα σου ἐπαινέσονται· οἱ ὀλίγοι δὲ ἐκεῖνοι, ὧν σὺ καταφρονεῖς, μάλα ἡδὺ καὶ ἐς κόρον γελάσονται, ὁρῶντες τὸ ἀσύμφυλον, καὶ ἀνάρμοστον, καὶ δυσκόλλητον τοῦ πράγματος. ἑκάστου γὰρ δὴ ἴδιόν τι καλόν ἐστιν· εἰ δὲ τοῦτο ἐναλλάξειας, ἀκαλλὲς τὸ αὐτὸ παρὰ τὴν χρῆσιν γίγνεται. Ἐῶ λέγειν, ὅτι οἱ ἔπαινοι ἑνὶ μὲν ἴσως τερπνοὶ, τῷ ἐπαινουμένῳ· τοῖς δ' ἄλλοις ἐπαχθεῖς, καὶ μάλιστα, ἢν ὑπερφυεῖς τὰς ὑπερ-

βουλὰς ἔχωσιν, οἵους αὐτοὺς οἱ πολλοὶ ἀπεργάζονται, τὴν εὔνοιαν τὴν παρὰ τῶν ἐπαινουμένων θηρώμενοι, καὶ ἐνδιατρίβοντες ἄχρι τοῦ πᾶσι προφανῆ τὴν κολακείαν ἐξεργάσασθαι. οὐδὲ γὰρ κατὰ τέχνην αὐτὸ δρᾶν ἴσασιν οὐδ᾽ ἐπισκιάζουσι τὴν θωπείαν, ἀλλ᾽ ἐμπεσόντες, ἀθρόα πάντα καὶ ἀπίθανα καὶ γυμνὰ διεξίασιν.

12. Ὥστε οὐδὲ τυγχάνουσιν, οὗ μάλιστα ἐφίενται· οἱ γὰρ ἐπαινούμενοι πρὸς αὐτῶν μισοῦσι μᾶλλον καὶ ἀποστρέφονται, ὡς κόλακας, εὖ ποιοῦντες, καὶ μάλιστα, ἢν ἀνδρώδεις τὰς γνώμας ὦσιν. Ὥσπερ Ἀριστοβούλου μονομαχίαν γράψαντος Ἀλεξάνδρου καὶ Πώρου, καὶ ἀναγνόντος αὐτῷ τοῦτο μάλιστα τὸ χωρίον τῆς γραφῆς, (ᾤετο γὰρ χαριεῖσθαι τὰ μέγιστα τῷ βασιλεῖ, ἐπιψευδόμενος ἀριστείας τινὰς αὐτῷ, καὶ ἀναπλάττων ἔργα μείζω τῆς ἀληθείας) λαβὼν ἐκεῖνος τὸ βιβλίον, (πλέοντες δ᾽ ἐτύγχανον ἐν τῷ ποταμῷ τῷ Ὑδάσπει) ἔρριψεν ἐπὶ κεφαλὴν ἐς τὸ ὕδωρ, ἐπειπών· Καὶ σὲ δὲ οὕτως ἐχρῆν, ὦ Ἀριστόβουλε, τοιαῦτα ὑπὲρ ἐμοῦ μονομαχοῦντα, καὶ ἐλέφαντας ἐν ἀκοντίῳ φονεύοντα. Καὶ ἔμελλέ γε οὕτως ἀγανακτήσειν ὁ Ἀλέξανδρος, ὅς γε οὐδὲ τὴν τοῦ ἀρχιτέκτονος τόλμαν ἠνέσχετο, ὑποσχομένου τὸν Ἄθω εἰκόνα ποιήσειν αὐτοῦ, καὶ μετακοσμήσειν τὸ ὄρος ἐς ὁμοιότητα τοῦ βασιλέως· ἀλλὰ κόλακα εὐθὺς ἐπιγνοὺς τὸν ἄνθρωπον, οὐκέτ᾽ οὐδ᾽ ἐς τὰ ἄλλα ὁμοίως ἐχρῆτο.

13. Ποῦ τοίνυν τὸ τερπνὸν ἐν τούτοις, ἐκτὸς εἰ μή τις κομιδῇ ἀνόητος εἴη, ὡς χαίρειν τὰ τοιαῦτα ἐπαινούμενος, ὧν παρὰ πόδας οἱ ἔλεγχοι, ὥσπερ οἱ ἄμορφοι τῶν ἀνθρώπων, καὶ μάλιστά γε τὰ γύναια, τοῖς γραφεῦσι παρακελευόμενα, ὡς καλλίστας αὐτὰς γράφειν· οἴονται γὰρ, ἄμεινον ἕξειν τὴν ὄψιν, ἢν ὁ γραφεὺς αὐταῖς ἐρύθημά τε πλεῖον ἐπανθίσῃ, καὶ τὸ λευκὸν ἐγκαταμίξῃ πολὺ τῷ φαρμάκῳ. Τοιοῦτοι τῶν συγγραφόντων οἱ πολλοί εἰσι τὸ τήμερον, καὶ τὸ ἴδιον, καὶ τὸ χρειῶδες, ὅ τι ἂν ἐκ τῆς ἱστορίας ἐλπίσωσι, θεραπεύοντες. οὓς μισεῖσθαι καλῶς εἶχεν, ἐς μὲν τὸ παρὸν κόλακας προδήλους καὶ ἀτέχνους ὄντας, ἐς τοὔπιὸν δὲ ὕποπτον ταῖς ὑπερβολαῖς τὴν ὅλην πραγματείαν ἀποφαίνοντας. Εἰ δέ τις πάντως τὸ περπνὸν ἡγεῖται καταμεμίχθαι δεῖν τῇ ἱστορίᾳ πάσῃ τὰ ἄλλα, ἃ σὺν ἀληθείᾳ τερπνά ἐστιν ἐν τοῖς ἄλλοις κάλλεσι τοῦ λόγου, ὧν ἀμελήσαντες οἱ πολλοὶ τὰ μηδὲν προσήκοντα ἐπεισκυκλοῦσιν.

14. Ἐγὼ δ' οὖν καὶ διηγήσομαι, ὁπόσα μέμνημαι, ἔναγχος ἐν Ἰωνίᾳ συγγραφέων τινῶν, καὶ νὴ Δία ἐν Ἀχαΐᾳ πρώην ἀκούσας, τὸν αὐτὸν τοῦτον πόλεμον διηγουμένων· καὶ, πρὸς Χαρίτων, μηδεὶς ἀπιστήσῃ τοῖς λεχθησομένοις· ὅτι γὰρ ἀληθῆ ἐστι, κἂν ἐπωμοσάμην, εἰ ἀστεῖον ἦν, ὅρκον ἐντιθέναι συγγράμματι. Εἷς μέν τις αὐτῶν ἀπὸ Μουσῶν εὐθὺς ἤρξατο, παρα-

καλῶν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0015-1

καλῶν τὰς θεὰς, συνεφάψασθαι τοῦ συγγράμματος. Ὁρᾷς, ὡς ἐμμελὴς ἡ ἀρχὴ, καὶ περὶ πόδα τῇ ἱστορίᾳ, καὶ τῷ τοιούτῳ εἴδει τῶν λόγων πρέπουσα; Εἶτα μικρὸν ὑποβὰς, Ἀχιλλεῖ μὲν τὸν ἡμέτερον ἄρχοντα εἴκαζε, Θερσίτῃ δὲ τὸν τῶν Περσῶν βασιλέα, οὐκ εἰδὼς, ὅτι ὁ Ἀχιλλεὺς ἀμείνων ἦν αὐτῷ, εἰ Ἕκτορα μᾶλλον, ἢ Θερσίτην καθῄρει, καὶ εἰ πρόσθεν μὲν ἔφευγεν ἐσθλός τις, ἐδίωκε δὲ μιν μέγ' ἀμείνων. Εἶτ' ἐπῆγεν ὑπὲρ αὐτοῦ τι ἐγκώμιον, καὶ ὡς ἄξιος εἴη συγγράψαι τὰς πράξεις, οὕτω λαμπρὰς οὔσας. Ἤδη δὲ κατιὼν, ἐπῄνει καὶ τὴν πατρίδα τὴν Μίλητον, προστιθεὶς, ὡς ἄμεινον ποιοῖ τοῦτο τοῦ Ὁμήρου, μηδὲν μνησθέντος τῆς πατρίδος. Εἶτ' ἐπὶ τέλει τοῦ φροιμίου ὑπισχνεῖτο διαῤῥήδην καὶ σαφῶς, ἐπὶ μεῖζον μὲν αἴρειν τὰ ἡμέτερα, τοὺς βαρβάρους δὲ καταπολεμήσειν καὶ αὐτὸς, ὡς ἂν δύνηται· καὶ ἤρξατό γε τῆς ἱστορίας οὕτως, αἴτια ἅμα τῆς τοῦ πολέμου ἀρχῆς διεξιών· „Ὁ γὰρ μιαρώτατος καὶ κάκιστ' ἀπολούμενος Οὐολόγεσος ἤρξατο πολεμεῖν, δι' αἰτίαν τοιάνδε„ Οὗτος μὲν τοιαῦτα.

15. Ἕτερος δὲ, Θουκυδίδου ζηλωτὴς ἄκρος, οἷος εὖ μάλα τῷ ἀρχετύπῳ εἰκασμένος, καὶ τὴν ἀρχὴν ὡς ἐκεῖνος, σὺν τῷ ἑαυτοῦ ὀνόματι ἤρξατο, χαριεστάτην ἀρχῶν ἁπασῶν, καὶ θύμου τοῦ Ἀττικοῦ ἀποπνέουσαν. Ὅρα γάρ· Κρεπέριος Καλπουρνιανὸς, Πομπηϊουπολίτης, συνέγραψε τὸν πόλεμον τῶν Παρθυαίων καὶ Ῥωμαίων,

μαίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς ξυνισαμένου. Ὥςε μετά γε τοιαύτην ἀρχὴν τί ἄν σοι τὰ λοιπὰ λέγοιμι, ὁποῖα ἐν Ἀρμενίᾳ ἐδημηγόρησε, τὸν Κερκυραῖον αὐτὸν ῥήτορα παρασησάμενος; ἢ οἷον Νισιβηνοῖς λοιμὸν, τοῖς μὴ τὰ Ῥωμαίων αἱρουμένοις, ἐπήγαγε, παρὰ Θουκυδίδου χρησάμενος ὅλον ἄρδην, πλὴν μόνου τοῦ Πελασγικοῦ καὶ τῶν τειχῶν τῶν μακρῶν, ἐν οἷς οἱ τότε λοιμώξαντες ᾤκησαν; Τὰ δ' ἄλλα καὶ ἀπὸ Αἰθιοπίας ἤρξατο, ὥςε καὶ ἐς Αἴγυπτον κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλὴν, καὶ ἐν ἐκείνῃ γε ἔμεινεν, εὖ ποιῶν. Ἔγωγ' οὖν θάπτοντα αὐτὸν ἔτι καταλιπὼν τοὺς ἀθλίους Ἀθηναίους ἐν Νισίβει, ἀπῆλθον, ἀκριβῶς εἰδὼς, καὶ ὅσα ἀπελθόντος ἐρεῖν ἔμελλε. Καὶ γὰρ αὖ καὶ τοῦτο ἐπιεικῶς πολὺ νῦν ἐςὶ, τὸ οἴεσθαι, τοῦτο εἶναι τοῖς Θουκυδίδου ἐοικότα λέγειν, εἰ ὀλίγον ἐντρέψας τὰ αὐτοῦ ἐκείνου λέγοι τις, μικρὰ κἀκεῖνα, ὡς, Καὶ αὐτὸς ἂν φαίης, Οὐ δι' αὐτὴν, νὴ Δία, Κἀκεῖνα ὀλίγου δεῖν παρέλιπον. Ὁ γὰρ αὐτὸς οὗτος συγγραφεὺς πολλὰ καὶ τῶν ὅπλων, καὶ τῶν μηχανημάτων, ὡς Ῥωμαῖοι αὐτὰ ὀνομάζουσιν, οὕτως ἀνέγραψε, καὶ τάφρον, ὡς ἐκεῖνοι, καὶ γέφυραν, καὶ τὰ τοιαῦτα. Καί μοι ἐννόησον, ἡλίκον τὸ ἀξίωμα τῆς ἱςορίας, καὶ ὡς Θουκυδίδῃ πρέπον, μεταξὺ τῶν Ἀττικῶν ὀνομάτων τὰ Ἰταλιωτικὰ ταῦτ' ἐγκεῖσθαι, ὥσπερ τὴν πορφύραν ἐπικοσμοῦντα, καὶ ἐμπρέποντα, καὶ πάντως συνᾴδοντα.

16. Ἄλλος δέ τις αὐτῶν, ὑπόμνημα τῶν γεγονότων γυμνὸν συναγαγὼν ἐν γραφῇ, κομιδῇ πεζὸν καὶ χαμαιπετὲς, οἷον καὶ στρατιώτης ἂν τις τὰ καθ' ἡμέραν ἀπογραφόμενος συνέθηκεν, ἢ τέκτων, ἢ κάπηλός τις, συμπερινοστῶν τῇ στρατιᾷ· πλὴν ἀλλὰ μετριώτερός γε ὁ ἰδιώτης οὗτος ἦν, αὐτὸς μὲν αὐτίκα δῆλος ὢν, οἷος ἦν, ἄλλῳ δέ τινι χαρίεντι καὶ δυνησομένῳ ἱστορίαν μεταχειρίσασθαι προπεπονηκώς. Τοῦτο μόνον ᾐτιασάμην αὐτοῦ, ὅτι οὕτως ἐπέγραψε τὰ βιβλία τραγικώτερον, ἢ κατὰ τὴν τῶν συγγραμμάτων τύχην· Καλλιμόρφου ἰατροῦ τῆς τῶν κοντοφόρων ἕκτης ἱστοριῶν Παρθικῶν· καὶ ὑπεγέγραπτο ἑκάστῃ ὁ ἀριθμός· καὶ, νὴ Δία, καὶ τὸ προοίμιον ὑπέρψυχρον ἐποίησεν, οὕτω συναγαγὼν οἰκεῖον εἶναι ἰατρῷ ἱστορίαν συγγράφειν, εἴγε ὁ Ἀσκληπιὸς μὲν Ἀπόλλωνος υἱὸς, Ἀπόλλων δὲ μουσηγέτης, καὶ πάσης παιδείας ἀρχων· καὶ ὅτι ἀρξάμενος ἐν τῇ Ἰάδι γράφειν, οὐκ οἶδ' ὅ τι δόξαν, αὐτίκα μάλα ἐπὶ τὴν κοινὴν μετῆλθεν, ἰατρείην μὲν λέγων, καὶ ὁκόσα, καὶ νοῦσοι, τὰ δ' ἄλλα, ὅσα ὁμοδίαιτα τοῖς πολλοῖς, καὶ τὰ πλεῖστα, οἷα ἐκ τριόδου.

17. Εἰ δέ με δεῖ καὶ σοφοῦ ἀνδρὸς μνησθῆναι, τὸ μὲν ὄνομα ἐν ἀφανεῖ κείσθω, τὴν γνώμην δ' ἐρῶ, καὶ τὰ πρώην ἐν Κορίνθῳ συγγράμματα, κρείττω πάσης ἐλπίδος. Ἐν ἀρχῇ μὲν γὰρ, εὐθὺς ἐν τῇ πρώτῃ τοῦ προοιμίου περιόδῳ, συνηρώτησε τοὺς ἀναγιγνώσκοντας, λόγον πάνσοφον δεῖξαι σπεύδων, ὡς μόνῳ ἂν τῷ σοφῷ πρέποι

πρέποι ἱστορίαν συγγράφειν. εἶτα μετὰ μικρὸν ἄλλος συλλογισμός· εἶτα ἄλλος· καὶ ὅλως ἐν ἅπαντι σχήματι συνηρώτητο αὐτῷ τὸ προοίμιον. Τὸ τῆς κολακείας ἐς κόρον, καὶ τὰ ἐγκώμια φορτικὰ καὶ κομιδῇ βωμολοχικά· οὐκ ἀσυλλόγιστα μέντοι, ἀλλὰ συνηρωτημένα καὶ συνηγμένα κἀκεῖνα. Καὶ μὴν κἀκεῖνο φορτικὸν ἔδοξέ μοι, καὶ ἥκιστα φιλοσόφῳ ἀνδρὶ καὶ πώγωνι πολιῷ καὶ βαθεῖ πρέπον, τὸ ἐν τῷ προοιμίῳ εἰπεῖν, ὡς ἐξαίρετον τοῦτο ἕξει ὁ ἡμέτερος ἄρχων, εἴγε τὰς πράξεις καὶ φιλόσοφοι ἤδη συγγράφειν ἀξιοῦσι. τὸ γὰρ τοιοῦτον, εἴπερ ἄρα, ἡμῖν ἔδει καταλιπεῖν λογίζεσθαι, ἢ αὐτὸν εἰπεῖν.

18. Καὶ μὴν οὐδ' ἐκείνου ὅσιον ἀμνημονεῦσαι, ὃς τοιάνδ' ἀρχὴν ἤρξατο· Ἔρχομαι ἐρέων περὶ Ρωμαίων καὶ Περσέων· καὶ μικρὸν ὕστερον· Ἔδεε γὰρ Πέρσῃσι γενέσθαι κακῶς· καὶ πάλιν· Ἦν Οσρόης, τὸν οἱ Ἕλληνες Ὀξυρόην ὀνυμέουσι· καὶ ἄλλα πολλὰ τοιαῦτα. Ὁρᾷς, ὅμοιος οὗτος ἐκείνῳ, παρ' ὅσον ὁ μὲν Θουκυδίδῃ, οὗτος δὲ Ἡροδότῳ εὖ μάλα ἐῴκει.

19. Ἄλλος τις, ἀοίδιμος ἐπὶ λόγων δυνάμει, Θουκυδίδῃ καὶ αὐτὸς ὅμοιος, ἢ ὀλίγῳ ἀμείνων αὐτοῦ, πάσας πόλεις, καὶ πάντα ὄρη, καὶ πεδία, καὶ ποταμοὺς ἑρμηνεύσας πρὸς τὸ σαφέστατον καὶ ἰσχυρότατον, ὡς ᾤετο. Τὸ δέ· Ἐς ἐχθρῶν κεφαλὰς ὁ ἀλεξίκακος τρέψειε·



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0019-6

Τοιαύτη ψυχρότης ἐνῆν, ὑπὲρ τὴν Κασπιακὴν χιόνα καὶ τὸν κρύσαλλον τὸν Κελτικόν. Ἡ γῦν ἀσπὶς, ἡ τῦ αὐτοκράτορος, ὅλῳ βιβλίῳ μόγις ἐξηρμηνεύθη αὐτῷ, καὶ Γοργὼν ἐπὶ τῦ ὀμφαλῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτῆς ἐκ κυανῦ, καὶ λευκῦ, καὶ μέλανος, καὶ ζώνη ἰριοειδὴς, καὶ δράκοντες ἑλικηδὸν καὶ βοστρυχηδόν. ἡ μὲν γὰρ Οὐολογέσυ ἀναξυρὶς, ἢ ὁ χαλινὸς τῦ ἵππυ, Ἡράκλεις, ὅσαι μυριάδες ἐπῶν ἕκαστον τύτων, καὶ οἷα ἦν ἡ Ὀσρόυ κόμη, διανέοντος τὸν Τίγρητα. καὶ ἐς οἷον ἄντρον κατέφυγε κιττῦ καὶ μυῤῥίνης καὶ δάφνης, ἐς ταὐτὸ συμπεφυκότων, καὶ σύσκιον ἀκριβῶς ποιύντων αὐτό. Σκόπει ὡς ἀναγκαῖα τῇ ἱςορίᾳ ταῦτα, καὶ ὡς ὐκ, ἄνευ αὐτῶν, ᾔδειμέν τι τῶν ἐκεῖ πραχθέντων.

20. Ὑπὸ γὰρ ἀσθενείας τῆς ἐν τοῖς χρησίμοις, ἢ ἀγνοίας τῶν λεκτέων, ἐπὶ τὰς τοιαύτας τῶν χωρίων καὶ ἄντρων ἐκφράσεις τρέπονται, καὶ ὁπόταν ἐς πολλὰ καὶ μεγάλα πράγματα ἐμπέσωσιν, ἐοίκασιν οἰκέτῃ νεοπλύτῳ, ἄρτι τῦ δεσπότυ κληρονομήσαντι, ὃς ὔτε τὴν ἐσθῆτα οἶδεν, ὡς χρὴ περιβάλλεσθαι, ὔτε δειπνῆσαι κατὰ νόμον, ἀλλ᾽ ἐμπηδήσας πολλάκις, ὀρνίθων καὶ συείων καὶ λαγωῶν προκειμένων, ὑπερεμπίπλαται ἔτνυς τινὸς ἢ ταρίχυ, ἐς᾽ ἂν διαῤῥαγῇ ἐσθίων. Οὗτος δ᾽ ὖν, ὃν προεῖπον, καὶ τραύματα συνέγραψε πάνυ ἀπίθανα, καὶ θανάτους ἀλλοκότους, ὡς εἰς δάκτυλον τῦ ποδὸς τὸν μέγαν τρωθείς τις αὐτίκα ἐτε-

ἐτελεύτησε, καὶ ὡς, ἐμβοήσαντος μόνον Πρίσκου τοῦ στρατηγοῦ, ἑπτὰ καὶ εἴκοσι τῶν πολεμίων ἐξέθανον. Ἔτι δὲ καὶ ἐν τῷ τῶν νεκρῶν ἀριθμῷ, τοῦτο μὲν, καὶ παρὰ τὰ γεγραμμένα ἐν ταῖς τῶν ἀρχόντων ἐπιστολαῖς ἐψεύσατο· ἐπὶ γὰρ Εὐρώπῳ τῶν μὲν πολεμίων ἀποθανεῖν μυριάδας ἑπτὰ, καὶ τριάκοντα καὶ ἓξ πρὸς διακοσίοις· Ῥωμαίων δὲ μόνους δύο καὶ τραυματίας γενέσθαι ἐννέα. Ταῦτα οὐκ οἶδα, εἴ τις ἂν εὖ φρονῶν ἀνάσχοιτο.

21. Καὶ μὴν κἀκεῖνο λεκτέον, οὐ μικρὸν ὄν. ὑπὸ γὰρ τοῦ κομιδῆ Ἀττικὸς εἶναι καὶ ἀποκεκαθάρθαι τὴν φωνὴν ἐς τὸ ἀκριβέστατον, ἠξίωσεν οὕτω καὶ τὰ ὀνόματα ποιῆσαι τῶν Ῥωμαίων, καὶ μεταγράψαι ἐς τὸ Ἑλληνικὸν, ὡς Κρόνιον μὲν Σατουρνῖνον λέγειν Φρόντιν δὲ τὸν Φρόντωνα. Τιτάνιον δὲ τὸν Τιτιανὸν, καὶ τἄλλα πολλῷ γελοιότερα. Ἔτι ὁ αὐτὸς οὗτος περὶ τῆς Σεβηριανοῦ τελευτῆς ἔγραψεν, ὡς οἱ μὲν ἄλλοι πάντες ἐξηπάτηνται, οἰόμενοι ξίφει τεθνάναι αὐτὸν. ἀποθάνοι δὲ ἀνὴρ, σιτίων ἀποσχόμενος· τοῦτον γὰρ αὐτῷ ἀλυπότατον δόξαι τὸν θάνατον· οὐκ εἰδὼς, ὅτι τὸ μὲν πάθος ἐκεῖνο πᾶν τριῶν, οἶμαι, ἡμερῶν ἐγένετο, ἀπόσιτοι δὲ καὶ ἑπτὰ διαρκοῦσιν οἱ πολλοὶ, ἐκτὸς εἰ μὴ τοῦθ' ὑπολάβοι τις, ὡς Ὀσρόης εἱστήκει περιμένων, ἔστ' ἂν Σεβηριανὸς λιμῷ ἀπόληται, καὶ διὰ τοῦτο οὐκ ἐπήγαγε διὰ τῆς ἑβδόμης.

22. Τοὺς δὲ καὶ ποιητικοῖς ὀνόμασιν, ὦ καλὲ Φίλων, ἐν ἱστορίᾳ χρωμένους, ποῦ ἄν τις θείη, τοὺς λέγοντας· Ἐλέλιξε μὲν ἡ μηχανή, τὸ τεῖχος δὲ πεσὸν μεγάλως ἐδούπησε. Καὶ πάλιν ἐν ἑτέρῳ μέρει τῆς καλῆς ἱστορίας· Ἔδεσσα μὲν δὴ οὕτω τοῖς ὅπλοις περιεσμαραγεῖτο, καὶ ὄτοβος ἦν, καὶ κόναβος ἅπαντα ἐκεῖνα, καὶ ὁ στρατηγὸς ἐμερμήριζεν, ᾧ τρόπῳ μάλιστα προσαγάγοι πρὸς τὸ τεῖχος. Εἶτα μεταξὺ οὕτως εὐτελῆ ὀνόματα, καὶ δημωτικά, καὶ πτωχικὰ πολλὰ παρενεβέβυστο, τό, Ἐπέστειλεν ὁ στρατοπεδάρχης τῷ κυρίῳ, καί, Οἱ στρατιῶται ἠγόραζον τὰ ἐγχρήζοντα, καί, Ἤδη λελουμένοι περὶ αὐτοὺς ἐγίγνοντο, καὶ τὰ τοιαῦτα, ὥστε τὸ πρᾶγμα ἐοικὸς εἶναι τραγῳδῷ, τὸν ἕτερον μὲν πόδα ἐπ' ἐμβάτου ὑψηλοῦ ἐπιβεβηκότι, θατέρῳ δὲ σάνδαλον ὑποδεδεμένῳ.

23. Καὶ μὴν καὶ ἄλλους ἴδοις ἄν, τὰ μὲν προοίμια λαμπρὰ, καὶ τραγικὰ, καὶ ἐς ὑπερβολὴν μακρὰ συγγράφοντας, ὡς ἐλπίσαι, θαυμαστὰ ἡλίκα τὰ μετὰ ταῦτα πάντως ἀκούσεσθαι· τὸ σῶμα δὲ αὐτὸ τῆς ἱστορίας μικρόν τι καὶ ἀγεννὲς ἐπάγοντας, ὡς καὶ τοῦτο ἐοικέναι παιδίῳ, εἴ που Ἔρωτα εἶδες παίζοντα, προσωπεῖον Ἡρακλέους πάμμεγα ἢ Τιτᾶνος περικείμενον. Εὐθὺς γοῦν οἱ ἀκούσαντες ἐπιφθέγγονται αὐτοῖς τό, Ὤδινεν ὄρος. Χρὴ δὲ μὴ οὕτως, ἀλλ' ὅμοια τὰ πάντα καὶ ὁμόχροα εἶναι, καὶ

συνᾷδον

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0022-9

συνάδον τῇ κεφαλῇ τὸ ἄλλο σῶμα, ὡς μὴ χρυσῦν μὲν τὸ κράνος εἴη, θώραξ δὲ πάνυ γελοῖος, ἐκ ῥακῶν ποθεν ἢ ἐκ δερμάτων σαπρῶν συγκεκαττυμένος, καὶ ἡ ἀσπὶς οἰσυΐνη, καὶ χοιρίνη περὶ ταῖς κνήμαις. Ἴδοις γὰρ ἂν ἀφθόνως τοιούτους συγγραφέας, τοῦ Ῥοδίων Κολοσσοῦ τὴν κεφαλὴν νανώδει σώματι ἐπιτιθέντας· ἄλλους αὖ ἔμπαλιν, ἀκέφαλα τὰ σώματα εἰσάγοντας, ἀπροοιμίαστα, καὶ εὐθὺς ἐπὶ τῶν πραγμάτων, οἳ καὶ προσεταιρίζονται τὸν Ξενοφῶντα, οὕτως ἀρξάμενον, „Δαρείου καὶ Παρυσάτιδος παῖδες γίγνονται δύο„ καὶ ἄλλους τῶν παλαιῶν, οὐκ εἰδότες, ὡς δυνάμει τινὰ προοίμιά ἐστι, λεληθότα τοὺς πολλούς, ὡς ἐν ἄλλοις δείξομεν.

24. Καίτοι ταῦτα πάντα φορητά ἐστιν, ὅσα ἢ ἑρμηνείας, ἢ τῆς ἄλλης διατάξεως ἁμαρτήματά ἐστι· τὸ δὲ καὶ περὶ τοὺς τόπους αὐτοὺς ψεύδεσθαι, οὐ παρασάγγας μόνον, ἀλλὰ καὶ σταθμοὺς ὅλους, τίνι τῶν καλῶν ἔοικεν; Εἷς γοῦν οὕτω ῥαθύμως συνήγαγε τὰ πράγματα, οὔτε Σύρῳ τινὶ ἐντυχὼν, οὔτε, τὸ λεγόμενον δὴ τοῦτο, τῶν ἐπὶ κουρείων τὰ τοιαῦτα μυθολογούντων ἀκούσας, ὥστε περὶ Εὐρώπου λέγων οὕτως ἔφη· „Ἡ δὲ Εὔρωπος κεῖται μὲν ἐν τῇ Μεσοποταμίᾳ, σταθμοὺς δύο τοῦ Εὐφράτου ἀπέχουσα· ἀπῴκισαν δ' αὐτὴν Ἐδεσσαῖοι.„ Καὶ οὐδὲ τοῦτο ἀπέχρησεν αὐτῷ, ἀλλὰ καὶ τὴν ἐμὴν πατρίδα, τὰ Σαμόσατα, αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ ἀράμενος ὁ γενναῖος, αὐτῇ ἀκροπόλει

καὶ τείχεσι μετέθηκεν ἐς τὴν Μεσοποταμίαν, ὡς περιωρίσθαι αὐτὴν ὑπ᾽ ἀμφοτέρων τῶν ποταμῶν, ἑκατέρωθεν ἐν χρῷ παραμειβομένων, καὶ μονονουχὶ τοῦ τείχους ψαυόντων. Τὸ δὲ καὶ γελοῖον, εἴ σοι νῦν, ὦ Φίλων, ἀπολογοίμην, ὡς οὐ Παρθυαίων, οὐδὲ Μεσοποταμίτης σοι ἐγὼ, οἷς με φέρων ὁ θαυμαστὸς συγγραφεὺς ἀπῴκισε.

25. Νὴ Δία κἀκεῖνο κομιδῇ πιθανὸν περὶ τοῦ Σεβηριανοῦ ὁ αὐτὸς οὗτος εἶπεν, ἐπομοσάμενος, ἦ μὴν ἀκοῦσαί τινος τῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαφυγόντων· οὔτε γὰρ ξίφει ἐθελῆσαι αὐτὸν ἀποθανεῖν οὔτε φαρμάκου πιεῖν, οὔτε βρόχον ἅψασθαι, ἀλλά τινα θάνατον ἐπινοῆσαι τραγικὸν καὶ τῇ τόλμῃ ξενίζοντα. τυχεῖν μὲν γὰρ αὐτὸν ἔχοντα παμμεγέθη ἐκπώματα ὑαλᾶ τῆς καλλίστης ὑάλου· ἐπεὶ δὲ πάντως ἀποθανεῖν ἔγνωστο, κατάξαντα τὸν μέγιστον τῶν σκύφων ἑνὶ τῶν θραυσμάτων χρήσασθαι εἰς σφαγὴν, ἐντεμόντα τῇ ὑάλῳ τὸν λαιμόν· οὕτως οὐ ξιφίδιον, οὐ λογχάριον εὗρεν, ὡς ἀνδρεῖός γε αὐτῷ καὶ ἡρωϊκὸς ὁ θάνατος γένοιτο.

26. Εἶτα ἐπειδὴ Θουκυδίδης ἐπιτάφιόν τινα εἶπε τοῖς πρώτοις τοῦ πολέμου ἐκείνου νεκροῖς, καὶ αὐτὸς ἡγήσατο χρῆναι ἐπειπεῖν τῷ Σεβηριανῷ· ἅπασι γὰρ αὐτοῖς πρὸς τὸν οὐδὲν αἴτιον τῶν ἐν Ἀρμενίᾳ κακῶν, τὸν Θουκυδίδην, ἡ ἅμιλλα. θάψας οὖν τὸν Σεβηριανὸν μεγα-

λοπρε-

λοπρεπῶς, ἀναβιβάζεται ἐπὶ τὸν τάφον Ἀφρανιόν τινα Σίλωνα, ἑκατόνταρχον, ἀνταγωνιςὴν Περικλέȣς, ὃς τοιαῦτα καὶ τοσαῦτα ἐπεῤῥητόρευσεν αὐτῷ, ὥςτέ με, νὴ τὰς Χάριτας, πολλὰ πάνυ δακρῦσαι ὑπὸ τȣ͂ γέλωτος, καὶ μάλιςα, ὁπότε ὁ ῥήτωρ ὁ Ἀφράνιος ἐπὶ τέλει τȣ͂ λόγȣ, δακρύων ἅμα σὺν οἰμωγῇ περιπαθεῖ, ἐμέμνητο τῶν πολυτελῶν ἐκείνων δείπνων καὶ προπόσεων. εἶτα ἐπέθηκεν Αἰάντειόν τινα τὴν κορωνίδα· σπασάμενος γὰρ τὸ ξίφος εὐγενῶς πάνυ, καὶ, ὡς Ἀφράνιον εἰκὸς ἦν, πάντων ὁρώντων, ἀπέσφαξεν ἑαυτὸν ἐπὶ τῷ τάφῳ, ȣ̓κ ἀνάξιος ὢν, μὰ τὸν Ἐνυάλιον, πρὸ πολλȣ͂ ἀποθανεῖν, εἰ τοιαῦτα ἐῤῥητόρευε. καὶ τȣ͂το, ἔφη, ἰδόντας τȣ̀ς παρόντας ἅπαντας θαυμάσαι, καὶ ὑπερεπαινέσαι τὸν Ἀφράνιον. Ἐγὼ δὲ καὶ τἆλλα μὲν αὐτȣ͂ κατεγίγνωσκον, μονονȣχὶ ζωμῶν καὶ λοπάδων μεμνημένȣ, καὶ ἐπιδακρύοντος τῇ τῶν πλακȣ́ντων μνήμῃ· τȣ͂το δὲ μάλιςα ᾐτιασάμην, ὅτι μὴ, τὸν συγγραφέα καὶ διδάσκαλον τȣ͂ δράματος προαποσφάξας, ἀπέθανε.

27. Πολλȣ̀ς δὲ καὶ ἄλλȣς ὁμοίȣς τȣ́τοις ἔχων σοι, ὦ ἑταῖρε, καταριθμήσασθαι, ὀλίγων ὅμως ἐπιμνησθεὶς, ἐπὶ τὴν ἑτέραν ὑπόσχεσιν ἤδη μετελεύσομαι, τὴν συμβȣλὴν, ὅπως ἂν ἄμεινον συγγράφοι τις. Εἰσὶ γάρ τινες, οἳ τὰ μεγάλα μὲν τῶν πεπραγμένων καὶ ἀξιομνημόνευτα παραλείπȣσιν, ἢ παραθέȣσιν·

θέουσιν· ὑπὸ δὲ ἰδιωτείας, καὶ ἀπειροκαλίας, καὶ ἀγνοίας τῶν λεκτέων ἢ σιωπητέων, τὰ μικρότατα πάνυ λιπαρῶς καὶ φιλοπόνως ἑρμηνεύουσιν, ἐμβραδύνοντες· ὥσπερ ἂν εἴ τις τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ τὸ μὲν ὅλον κάλλος, τοσοῦτον καὶ τοιοῦτον ὄν, μὴ βλέποι, μηδ᾽ ἐπαινοῖ, μηδὲ τοῖς οὐκ εἰδόσιν ἐξηγοῖτο· τοῦ ὑποποδίου δὲ τό τε εὐθυεργὲς καὶ τὸ εὔξεστον θαυμάζοι, καὶ τῆς κρηπῖδος τὸ εὔρυθμον, καὶ ταῦτα πάνυ μετὰ πολλῆς φροντίδος διεξιών.

28. Ἔγωγ᾽ οὖν ἤκουσά τινος, τὴν μὲν ἐπ᾽ Εὐρώπῳ μάχην ἐν οὐδ᾽ ὅλοις ἑπτὰ ἔπεσι παραδραμόντος, εἴκοσι δὲ μέτρα, ἢ ἔτι πλείω, ὕδατος ἀναλωκότος εἰς ψυχρὰν καὶ οὐδὲν ἡμῖν προσήκουσαν διήγησιν, ὡς Μαῦρός τις ἱππεύς, Μαυσάκας τοὔνομα, ὑπὸ δίψους πλανώμενος ἀνὰ τὰ ὄρη, καταλάβοι Σύρους τινὰς τῶν ἀγροίκων, ἄριστον παρατιθεμένους, καὶ ὅτι τὰ μὲν πρῶτα ἐκεῖνοι φοβηθεῖεν αὐτόν, εἶτα μέντοι, μαθόντες, ὡς τῶν φίλων εἴη, κατεδέξαντο καὶ εἱστιάσαντο· καὶ γάρ τινα τυχεῖν αὐτῶν ἀποδεδημηκότα καὶ αὐτὸν ἐς τὴν Μαύρων, ἀδελφοῦ αὐτῷ ἐν τῇ γῇ στρατευομένου. Μῦθοι τὸ μετὰ τοῦτο μακροί, καὶ διηγήσεις, ὡς θηράσειεν αὐτὸς ἐν τῇ Μαυρουσίᾳ, καὶ ὡς ἴδοι τοὺς ἐλέφαντας πολλοὺς ἐν τῷ αὐτῷ συννεμομένους, καὶ ὡς ὑπὸ λέοντος ὀλίγου δεῖν καταβρωθείη, καὶ ἡλίκους ἰχθῦς ἐπρίατο ἐν Καισαρείᾳ. Καὶ ὁ θαυμαστὸς συγγραφεύς, ἀφεὶς

τὰς

τὰς ἐν Εὐρώπῳ γιγνομένας σφαγὰς τοσαύτας, καὶ ἐπελεύσεις, καὶ σπονδὰς ἀναγκαίας, καὶ φύλακας, καὶ ἀντιφύλακας, ἄχρι βαθείας ἑσπέρας ἐφεισήκει, ὁρῶν Μαλχίωνα τὸν Σύρον ἐν Καισαρείᾳ, σκάρους παμμεγέθεις ἀξίους ὠνούμενον. εἰ δὲ μὴ νὺξ κατέλαβε, τάχα καὶ συνεδείπνει μετ' αὐτοῦ, ἤδη τῶν σκάρων ἐσκευασμένων. Ἅπερ εἰ μὴ ἐνεγέγραπτο ἐπιμελῶς τῇ ἱστορίᾳ, μεγάλα ἂν ἡμεῖς ἠγνοηκότες ἦμεν, καὶ ἡ ζημία Ῥωμαίοις ἀφόρητος, εἰ Μαυσάκας ὁ Μαῦρος διψῶν μὴ εὗρε πιεῖν, ἀλλ' ἄδειπνος ἐπανῆλθεν ἐπὶ τὸ στρατόπεδον. Καίτοι πόσα ἄλλα μακρῷ γελοιότερα ἑκὼν ἐγὼ νῦν παρίημι, ὡς καὶ αὐλητρὶς ἧκεν ἐκ τῆς πλησίον κώμης αὐτοῖς, καὶ ὡς δῶρα ἀλλήλοις ἀντέδοσαν, ὁ Μαῦρος μὲν τῷ Μαλχίωνι λόγχην, ὁ δὲ τῷ Μαυσάκᾳ πόρπην, καὶ ἄλλα πολλὰ τοιαῦτα τῆς ἐπ' Εὐρώπῳ μάχης, αὐτὰ δὴ τὰ κεφάλαια. Τοιγάρτοι εἰκότως ἄν τις εἴποι τοὺς τοιούτους, τὸ μὲν ῥόδον αὐτὸ μὴ βλέπειν, τὰς ἀκάνθας δὲ αὐτοῦ τὰς παρὰ τὴν ῥίζαν ἀκριβῶς ἐπισκοπεῖν.

29. Ἄλλος, ὦ Φίλων, μάλα καὶ οὗτος γελοῖος, οὐδὲ τὸν ἕτερον πόδα ἐκ Κορίνθου πώποτε προβεβηκώς, οὐδ' ἄχρι Κεγχρεῶν ἀποδημήσας, οὔ τι γε Συρίαν ἢ Ἀρμενίαν ἰδὼν, ὧδε ἤρξατο· μέμνημαι γάρ· „Ὦτα ὀφθαλμῶν ἀπιστότερα· γράφω τοίνυν, ἃ εἶδον, οὐχ ἃ ἤκουσα,„ καὶ οὕτως ἀκριβῶς ἅπαντα ἑωράκει, ὥστε τοὺς δρά-

κοντας ἔφη τῶν Παρθυαίων (σημεῖον δὲ πλήθους τοῦτο αὐτοῖς. χιλίους γάρ, οἶμαι, ὁ δράκων ἄγει) ζῶντας δράκοντας παμμεγέθεις εἶναι, γεννωμένους ἐν τῇ Περσίδι, μικρὸν ὑπὲρ τὴν Ἰβηρίαν· τούτους δὲ τέως μὲν ἐπὶ κοντῶν μεγάλων ἐκδεδεμένους ὑψηλοὺς αἰωρεῖσθαι καὶ πόῤῥωθεν ἐπελαυνόντων δέος ἐμποιεῖν· ἐν αὐτῷ δὲ τῷ ἔργῳ, ἐπειδὰν ὁμοῦ ἴωσι, λύσαντες αὐτοὺς ἐπαφιᾶσι τοῖς πολεμίοις. ἀμέλει πολλοὺς τῶν ἡμετέρων οὕτω καταποθῆναι, καὶ ἄλλους, περισπειραθέντων αὐτοῖς, ἀποπνιγῆναι καὶ συγκλασθῆναι. ταῦτα δὲ ἐφεστὼς ὁρᾶν αὐτός, ἐν ἀσφαλεῖ μέντοι, ἀπὸ δένδρου ὑψηλοῦ ποιούμενος τὴν σποκήν· καὶ εὖ γε ἐποίησε, μὴ ὁμόσε χωρήσας τοῖς θηρίοις, ἐπεὶ οὐκ ἂν ἡμεῖς θαυμαστὸν οὕτω συγγραφέα νῦν εἴχομεν, καὶ ἀπὸ χειρὸς αὐτὸν μεγάλα καὶ λαμπρὰ ἐν τῷ πολέμῳ τούτῳ ἐργασάμενον· καὶ γὰρ ἐκινδύνευσε πολλά, καὶ ἐτρώθη περὶ Σοῦραν, ἀπὸ τοῦ Κρανείου δηλονότι βαδίζων ἐπὶ τὴν Λέρναν. Καὶ ταῦτα Κορινθίων ἀκουόντων ἀνεγίνωσκε, τῶν ἀκριβῶς εἰδότων, ὅτι μηδὲ κατὰ τοίχου γεγραμμένον πόλεμον ἑωράκει. ἀλλ' οὐδὲ ὅπλα ἐκεῖνός γε ᾔδει, οὐδὲ μηχανήματα, οἷά ἐστιν, οὐδὲ τάξεων ἢ καταλοχισμῶν ὀνόματα. Πάνυ γοῦν ἔμελεν αὐτῷ, πλαγίαν μὲν τὴν ὀρθίαν φάλαγγα, ἐπὶ κέρως δὲ λέγειν τὸ ἐπὶ μετώπου ἄγειν.

30. Εἷς δέ τις βέλτιστος ἅπαντα ἐξ ἀρχῆς ἐς τέλος τὰ πεπραγμένα, ὅσα ἐν Αρμενίᾳ ὅσα ἐν Συρίᾳ, ὅσα ἐν Μεσοποταμίᾳ, τὰ ἐπὶ τῷ Τίγρητι τὰ ἐν Μηδίᾳ, πεντακοσίοις οὐδ' ὅλοις ἔπεσι περιλαβὼν, συνέγραψε, καὶ τοῦτο ποιήσας, ἱστορίαν συγγεγραφέναι φησί. Τὴν μέντοι ἐπιγραφὴν ὀλίγου δεῖν μακροτέραν τοῦ βιβλίου ἐπέγραψεν· „Αντιοχιανοῦ τοῦ Απόλλωνος ἱερονίκου, δόλιχον γάρ που, οἶμαι, ἐν παισὶ νενικήκει, τῶν ἐν Αρμενίᾳ, καὶ Μεσοποταμίᾳ, καὶ ἐν Μηδίᾳ Ρωμαίοις νῦν πραχθέντων ἀφήγησις.

31. Ἤδη δ' ἐγώ τινος καὶ τὰ μέλλοντα συγγεγραφότος ἤκουσα, καὶ τὴν λῆψιν Οὐολογέσου, καὶ τὴν Οσρόου σφαγὴν, ὡς παραβληθήσεται τῷ λέοντι, καὶ ἐπὶ πᾶσι, τὸν τριπόθητον ἡμῖν θρίαμβον. οὕτω πάνυ μαντικῶς ἅμα ἔχων, ἔσπευδεν ἤδη πρὸς τὸ τέλος τῆς γραφῆς. ἀλλὰ καὶ πόλιν ἤδη ἐν τῇ Μεσοποταμίᾳ ᾤκισε, μεγέθει τε μεγίστην, καὶ κάλλει καλλίστην· ἔτι μέντοι ἐπισκοπεῖ καὶ διαβουλεύεται, εἴτε Νίκαιαν αὐτὴν ἀπὸ τῆς νίκης χρὴ ὀνομάζεσθαι, εἴτε Ὁμόνοιαν, εἴτε Εἰρηνίαν. Καὶ τοῦτο μὲν ἔτι ἄκριτον, καὶ ἀνώνυμος ἡμῖν ἡ καλὴ πόλις ἐκείνη, λήρου πολλοῦ καὶ κορύζης συγγραφικῆς γέμουσα. τὰ δ' ἐν Ινδοῖς πραχθησόμενα ὑπέσχετο ἤδη γράψειν, καὶ τὸν περίπλουν τῆς ἔξω θαλάσσης· καὶ οὐκ ὑπόσχεσις ταῦτα μόνον, ἀλλὰ καὶ τὸ προοί-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0029-2

μιον τῆς Ἰνδικῆς ἤδη συντέτακται, καὶ τὸ τρίτον τάγμα, καὶ οἱ Κελτοὶ, καὶ Μαύρων μοῖρα ὀλίγη σὺν Κασσίῳ, πάντες ἔτοι ἐπεραιώθησαν τὸν Ἰνδὸν ποταμόν· ὅ τι δὲ πράξεσιν, ἢ πῶς δέξονται τὴν τῶν ἐλεφάντων ἐπέλασιν, ἐκ εἰς μακρὰν ἡμῖν ὁ θαυμαςὸς συγγραφεὺς ἀπὸ Μεζέριδος ἢ ἀπ' Ὀξυδρακῶν ἐπιςελεῖ.

32. Τοιαῦτα πολλὰ ὑπ' ἀπαιδευσίας ληρεσι, τὰ μὲν ἀξιόρατα ἐχ' ὁρῶντες, ἔτ', εἰ βλέποιεν, κατ' ἀξίαν εἰπεῖν δυνάμενοι· ἐπινοεντες δὲ καὶ ἀναπλάττοντες, ὅ τι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν, φασὶν, ἔλθῃ, καὶ ἐπὶ τῷ ἀριθμῷ τῶν βιβλίων ἔτι σεμνυνόμενοι, καὶ μάλιςα ἐπὶ ταῖς ἐπιγραφαῖς. Καὶ γὰρ αὖ καὶ αὗται παγγέλοιοι· „Τε δεῖνος Παρθικῶν νικῶν τοσάδε„ καὶ αὖ„ Παρθίδος πρῶτον, δεύτερον„ ὡς Ἀτθίδος δηλονότι. Ἄλλος ἀςειότερον παραπολύ· ἀνέγνων γὰρ Δημητρίε Σαγαλασέως Παρθονικικὰ, ἐδ' ὡς ἐν γέλωτι ποιήσασθαι καὶ ἐπισκῶψαι τὰς ἱςορίας, ἔτω καλὰς ἔσας, ἀλλὰ τε χρησίμε ἕνεκα, ὡς, ὅςις ἂν ταῦτα καὶ τὰ τοιαῦτα φεύγῃ, πολὺ μέρος ἤδη ἐς τὸ ὀρθῶς συγγράφειν ἔτος προςείληφε· μᾶλλον δὲ ὀλίγων ἔτι προσδεῖται, εἴγε ἀληθὲς ἐκεῖνό φησιν ἡ διαλεκτικὴ, ὡς τῶν ἀμέσων ἡ θατέρε ἄρσις τὸ ἕτερον πάντως ἀντειςάγει.

33. Καὶ δὴ τὸ χωρίον σοι, φαίη τις ἂν, ἀκριβῶς ἀνακεκάθαρται, καὶ αἵ τε ἄκανθαι, ὁπόσαι

ὁπόσαι ἦσαν, καὶ βάτοι, ἐκκεκομμέναι εἰσί, τὰ δὲ τῶν ἄλλων ἐρείπια ἤδη ἐκπεφόρηται, καὶ εἴ τι τραχὺ δὴ, καὶ τοῦτο λεῖόν ἐστιν. ὥστε οἰκοδομεῖν τι δεῖ ἤδη, καὶ, αὐτὸν ὡς δείξῃς, οὐκ ἀνατρέψαι μόνον τὰ τῶν ἄλλων, γεννάδας ὢν, ἀλλά τι καὶ αὐτὸς ἐπινοῆσαι δεξιὸν, καὶ ὃ οὐδεὶς ἂν, ἀλλ' οὐδ' ὁ Μῶμος μωμήσασθαι δύναιτο.

34. Φημὶ τοίνυν, τὸν ἄριστα ἱστορίαν συγγράφοντα δύο μὲν ταῦτα κορυφαιότατα οἴκοθεν ἔχοντα ἥκειν, σύνεσίν τε πολιτικὴν, καὶ δύναμιν ἑρμηνευτικήν· τὴν μὲν, ἀδίδακτόν τι τῆς φύσεως δῶρον· ἡ δύναμις δὲ πολλῇ τῇ ἀσκήσει, καὶ συνεχεῖ τῷ πόνῳ, καὶ ζήλῳ τῶν ἀρχαίων προσγεγενημένη ἔστω. Ταῦτα μὲν οὖν ἄτεχνα, καὶ οὐδὲν ἐμοῦ συμβούλου δεόμενα, οὐ γὰρ συνετοὺς καὶ ὀξεῖς ἀποφαίνειν τοὺς μὴ παρὰ τῆς φύσεως τοιούτους φησὶ τοῦτο ἡμῖν τὸ βιβλίον, ἐπεὶ πολλοῦ ἂν, μᾶλλον δὲ τοῦ παντὸς ἦν ἄξιον, εἰ μεταπλάσαι καὶ μετακοσμῆσαι τὰ τηλικαῦτα ἐδύνατο, ἢ ἐκ μολίβδου χρυσὸν ἀποφῆναι, ἢ ἄργυρον ἀπὸ κασσιτέρου, ἢ ἀπὸ Κόνωνος Τίτορμον, ἢ ἀπὸ Λεωτροφίδου Μίλωνα ἐξεργάσασθαι.

35. Ἀλλὰ ποῦ τὸ τῆς τέχνης καὶ τὸ τῆς συμβουλῆς χρήσιμον; Οὐκ ἐς ποίησιν τῶν προσόντων, ἀλλ' ἐς χρῆσιν αὐτῶν τὴν προσήκουσαν. οἷόν τι ἀμέλει καὶ Ἴκκος, καὶ Ἡροδίκης, καὶ

Θέων, καὶ εἴ τις ἄλλος γυμναστὴς. οὐχ ὑπόσχοιντο ἄν σοι, τοῦτον Περδίκκαν παραλαβόντες, (εἰ δὴ οὗτός ἐστιν ὁ τῆς μητρυιᾶς ἐρασθεὶς, καὶ διὰ ταῦτα κατεσκληκὼς, ἀλλὰ μὴ Ἀντίοχος ὁ τοῦ Σελεύκου Στρατονίκης ἐκείνης,) ἀποφαίνειν ὀλυμπιονίκην, καὶ Θεαγένει τῷ Σασίῳ ἢ Πολυδάμαντι τῷ Σκοτουσσαίῳ ἀντίπαλον, ἀλλὰ τὴν δοθεῖσαν ὑπόθεσιν, εὐφυᾶ πρὸς ὑποδοχὴν τῆς γυμναστικῆς, παραπολὺ ἀμείνω ἀποφαίνειν μετὰ τῆς τέχνης. Ὥστε ἀπέσω καὶ ἡμῶν τὸ ἐπίφθονον τοῦτο τῆς ὑποσχέσεως, εἰ τέχνην φαμὲν ἐφ' οὕτω μεγάλῳ καὶ χαλεπῷ τῷ πράγματι ἐφευρηκέναι· οὐ γὰρ, ὅντινοῦν παραλαβόντες ἀποφαίνειν συγγραφέα φαμὲν, ἀλλὰ τῷ φύσει συνετῷ καὶ ἄριστα πρὸς λόγους ἠσκημένῳ ὑποδείξειν ὁδούς τινας ὀρθὰς, εἰ δὴ τοιαῦται φαίνονται, αἷς χρώμενος, θᾶττον ἂν καὶ εὐμαρέστερον τελέσειεν ἄχρι καὶ πρὸς τὸν σκοπόν.

36. Καίτοι οὐ γὰρ ἂν φαίης, ἀπροσδεῆ τὸν συνετὸν εἶναι τῆς τέχνης καὶ διδασκαλίας, ὧν ἀγνοεῖ. ἐπεὶ κἂν ἐκιθάριζε μὴ μαθὼν, καὶ ηὔλει, καὶ πάντα ἂν ἠπίστατο· νῦν δὲ, μὴ μαθὼν, οὐκ ἄν τι αὐτῶν χειρουργήσειεν· ὑποδείξαντος δέ τινος, ῥᾷστά τε ἂν μάθοι, καὶ εὖ μεταχειρίσαιτο ἐφ' αὐτοῦ.

37. Καὶ τοίνυν καὶ ἡμῖν τοιοῦτός τις ὁ μαθητὴς νῦν παραδεδόσθω, συνιέναι τε καὶ εἰπεῖν

οὐκ

ἐκ ἀγεννής, ἀλλ' ὀξὺ δεδορκώς, οἷος καὶ πράγμασι χρήσασθαι ἄν, εἰ ἐπιτραπείη, καὶ γνώμην στρατιωτικὴν, ἀλλὰ μετὰ τῆς πολιτικῆς, καὶ ἐμπειρίαν στρατηγικὴν ἔχειν, καὶ, νὴ Δία, καὶ ἐν στρατοπέδῳ γεγονώς ποτε, καὶ γυμναζομένους ἢ ταττομένους στρατιώτας ἑωρακώς, καὶ ὅπλα εἰδὼς, καὶ μηχανήματα ἔνια, καὶ τί ἐπὶ κέρως, καὶ τί ἐπὶ μετώπου, πῶς οἱ λόχοι. πῶς οἱ ἱππεῖς, καὶ πόθεν, καὶ τί ἐξελαύνειν, ἢ περιελαύνειν, καὶ ὅλως οὐ τῶν κατοικιδίων τις, οὐδ' οἷος πιστεύειν μόνον τοῖς ἀπαγγέλλουσι.

38. Μάλιστα δὲ καὶ πρὸ τῶν πάντων ἐλεύθερος ἔστω τὴν γνώμην, καὶ μήτε φοβείσθω μηδένα, μηδὲ ἐλπιζέτω μηδὲν, ἐπεὶ ὅμοιος ἔσται τοῖς φαύλοις δικασταῖς, πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν ἐπὶ μισθῷ δικάζουσιν. Ἀλλὰ μὴ μελέτω αὐτῷ μήτε Φίλιππος, ἐκκεκομμένος τὸν ὀφθαλμὸν ὑπὸ Ἀστέρος τοῦ Ἀμφιπολίτου, τοῦ τοξότου, ἐν Ὀλύνθῳ, ἀλλὰ τοιοῦτος, οἷος ἦν, δειχθήσεται. Μήτε Ἀλέξανδρος ἀνιάσεται ἐπὶ τῇ Κλείτου σφαγῇ, ὠμῶς ἐν τῷ συμποσίῳ γενομένῃ, εἰ σαφῶς ἀναγράφοιτο. Οὐδὲ Κλέων αὐτὸν φοβήσει, μέγα ἐν τῇ ἐκκλησίᾳ δυνάμενος, καὶ κατέχων τὸ βῆμα, ὡς μὴ εἰπεῖν, ὅτι ὀλέθριος καὶ μανικὸς ἄνθρωπος οὗτος ἦν. Οὐδὲ ἡ σύμπασα πόλις τῶν Ἀθηναίων, ἢν τὰ ἐν Σικελίᾳ κακὰ ἱστορῇ, καὶ τὴν Δημοσθένους λῆψιν, καὶ τὴν Νικίου τελευτὴν,

καὶ

καὶ ὡς ἐδίψων, καὶ οἷον τὸ ὕδωρ ἔπινον, καὶ ὡς ἐφονεύοντο πίνοντες οἱ πολλοί. ἡγήσεται γὰρ, ὅπερ δικαιότατον, ὑπ' οὐδενὸς τῶν νῦν ἐχόντων αὐτὸς ἕξειν τὴν αἰτίαν, ἣν τὰ δυστυχῶς ἢ ἀνοήτως γεγενημένα, ὡς ἐπράχθη, διηγῆται· οὐ γὰρ ποιητὴς αὐτῶν, ἀλλὰ μηνυτὴς ἦν. Ὥστε κἂν καταναυμαχῶνται, τότε οὐκ ἐκεῖνος ὁ καταδύων ἐστί· κἂν φεύγωσιν, οὐκ ἐκεῖνος ὁ διώκων, ἐκτὸς εἰ μὴ εὔξασθαι δέον μή τι παρέλιπεν· ἐπεί τοί γε, εἰ σιωπήσας αὐτὰ, ἢ πρὸς τἀναντίον εἰπὼν, ἐπανορθώσασθαι ἐδύνατο, ῥᾷστον ἦν, ἑνὶ καλάμῳ λεπτῷ τὸν Θουκυδίδην ἀνατρέψαι μὲν τὸ ἐν ταῖς Ἐπιπολαῖς παρατείχισμα, καταδῦσαι δὲ τὴν Ἑρμοκράτους τριήρη, καὶ τὸν κατάρατον Γύλιπον διαπεῖραι, μεταξὺ ἀποτειχίζοντα καὶ ἀποταφρεύοντα τὰς ὁδοὺς, καὶ τέλος, Συρακουσίους μὲν εἰς τὰς λιθοτομίας ἐμβαλεῖν, τοὺς δ' Ἀθηναίους περιπλεῖν Σικελίαν καὶ Ἰταλίαν μετὰ τῶν πρώτων τοῦ Ἀλκιβιάδου ἐλπίδων. Ἀλλ', οἶμαι, τὰ μὲν πραχθέντα οὐδὲ Κλωθὼ ἂν ἔτι ἀνακλώσειεν, οὐδ' Ἄτροπος μετατρέψειε.

39. Τοῦ δὴ συγγραφέως ἔργον ἓν, ὡς ἐπράχθη, εἰπεῖν. Τοῦτο δ' οὐκ ἂν δύναιτο, ἄχρις ἂν ἢ φοβῆται Ἀρταξέρξην, ἰατρὸς αὐτοῦ ὢν, ἢ ἐλπίζῃ, κάνδυν πορφυροῦν, καὶ στρεπτὸν χρυσοῦν, καὶ ἵππον τῶν Νισαίων λήψεσθαι μισθὸν τῶν ἐν τῇ γραφῇ ἐπαίνων. Ἀλλ' οὐ Ξενοφῶν αὐτὸ ποιήσει, δίκαιος συγγραφεὺς, οὐδὲ Θουκυδίδης,

κυδίδης, ἀλλὰ κἂν ἰδίᾳ μισῇ τινας, πολὺ ἀναγκαιότερον ἡγήσεται τὸ κοινὸν, καὶ τὴν ἀλήθειαν περὶ πλείονος ποιήσεται τῆς ἔχθρας· κἂν φιλῇ, ὅμως οὐκ ἀφέξεται ἁμαρτάνοντος. Ἓν γὰρ, ὡς ἔφην, τοῦτο ἴδιον ἱςορίας, καὶ μόνῃ θυτέον τῇ ἀληθείᾳ, εἴ τις ἱςορίαν γράψων ἴοι, τῶν δ᾽ ἄλλων ἁπάντων ἀμελητέον αὐτῷ· καὶ ὅλως, πῆχυς εἷς καὶ μέτρον ἀκριβὲς, ἀποβλέπειν μὴ εἰς τοὺς νῦν ἀκούοντας, ἀλλ᾽ εἰς τοὺς μετὰ ταῦτα συνεσομένους τοῖς συγγράμμασιν.

40. Εἰ δὲ τὸ παραυτίκα τις θεραπεύοι, τῆς τῶν κολακευόντων μερίδος εἰκότως ἂν νομισθείη, οὓς πάλαι ἡ ἱςορία ἐξ ἀρχῆς εὐθὺς ἀπέςραπτο οὐ μεῖον, ἢ κωμωτικὴν ἡ γυμναςική. Ἀλεξάνδρου γοῦν καὶ τοῦτο ἀπομνημονεύουσιν, ὡς, ἡδέως ἂν, ἔφη, πρὸς ὀλίγον ἀνεβίουν, ὦ Ὀνησίκριτε, ἀποθανὼν, ὡς μάθοιμι, ὅπως ταῦτα οἱ ἄνθρωποι τότε ἀναγινώσκουσιν. εἰ δὲ νῦν αὐτὰ ἐπαινοῦσι καὶ ἀσπάζονται, μὴ θαυμάσῃς· οἴονται γὰρ, οὐ μικρῷ τινι τῷ δελέατι τούτῳ ἀνασπάσειν ἕκαςος τὴν παρ᾽ ἡμῶν εὔνοιαν. Ὁμήρῳ γοῦν, καίτοι πρὸς τὸ μυθῶδες τὰ πλεῖςα συγγεγραφότι ὑπὲρ τοῦ Ἀχιλλέως, ἤδη καὶ πιςεύειν τινὲς ὑπάγονται, μόνον τοῦτο εἰς ἀπόδειξιν τῆς ἀληθείας μέγα τεκμήριον τιθέμενοι, ὅτι μὴ περὶ ζῶντος ἔγραψεν· οὐ γὰρ εὑρίσκουσιν, οὗτινος ἕνεκα ἐψεύδετ᾽ ἄν.

41. Τοιῦτος οὖν μοι ὁ συγγραφεὺς ἔστω, ἄφοβος, ἀδέκαστος, ἐλεύθερος, παῤῥησίας καὶ ἀληθείας φίλος, ὡς ὁ Κωμικός φησι, τὰ σῦκα σῦκα, τὴν σκάφην δὲ σκάφην ὀνομάζων, οὐ μίσει, οὐδὲ φιλίᾳ νέμων, οὐδὲ φειδόμενος, ἢ ἐλεῶν, ἢ αἰσχυνόμενος, ἢ δυσωπούμενος, ἴσος δικαστὴς, εὔνους ἅπασιν, ἄχρι τοῦ μὴ θατέρῳ τι ἀπονεῖμαι πλεῖον τοῦ δέοντος, ξένος ἐν τοῖς βιβλίοις, καὶ ἄπολις, αὐτόνομος, ἀβασίλευτος, οὐ, τί τῷδε ἢ τῷδε δόξει, λογιζόμενος, ἀλλὰ, τί πέπρακται, λέγων.

42. Ὁ δ' οὖν Θουκυδίδης εὖ μάλα τοῦτο ἐνομοθέτησε, καὶ διέκρινεν ἀρετὴν καὶ κακίαν συγγραφικὴν, ὁρῶν μάλιστα θαυμαζόμενον τὸν Ἡρόδοτον, ἄχρι τοῦ καὶ Μούσας κληθῆναι αὐτοῦ τὰ βιβλία· κτῆμά τε γάρ, φησι, μᾶλλον ἐς ἀεὶ συγγράφειν, ἤπερ ἐς τὸ παρὸν ἀγώνισμα, καὶ μὴ τὸ μυθῶδες ἀσπάζεσθαι, ἀλλὰ τὴν ἀλήθειαν τῶν γεγενημένων ἀπολείπειν τοῖς ὕστερον· καὶ ἐπάγει τὸ χρήσιμον, καὶ, ὃ τέλος ἄν τις εὖ φρονῶν ὑπόθοιτο ἱστορίας, ὡς, εἴ ποτε καὶ αὖθις τὰ ὅμοια καταλάβοι, ἔχοιεν, φησὶ, πρὸς τὰ προγεγραμμένα ἀποβλέποντες, εὖ χρῆσθαι τοῖς ἐν ποσί.

43. Καὶ

43. Καὶ τὴν μὲν γνώμην τοιαύτην ἔχων ὁ συγγραφεὺς, ἡκέτω μοι· τὴν δὲ φωνὴν, καὶ τὴν τῆς ἑρμηνείας ἰσχὺν, τὴν μὲν σφοδρὰν ἐκείνην, καὶ κάρχαρον, καὶ συνεχῆ ταῖς περιόδοις, καὶ ἀγκύλην ταῖς ἐπιχειρήσεσι, καὶ τὴν ἄλλην τῆς ῥητορείας δεινότητα, μὴ κομιδῆ τεθηγμένος ἀρχέσθω τῆς γραφῆς, ἀλλ᾽ εἰρηνικώτερον διακείμενος. καὶ ὁ μὲν νοῦς σύστοιχος ἔστω καὶ πυκνὸς· ἡ λέξις δὲ σαφὴς καὶ πολιτικὴ, οἷα ἐπισημότατα δηλοῦν τὸ ὑποκείμενον.

44. Ὡς γὰρ τῇ γνώμῃ τοῦ συγγραφέως σκοποὺς ὑπεθέμεθα, παῤῥησίαν καὶ ἀλήθειαν, οὕτω δὲ καὶ τῇ φωνῇ αὐτοῦ εἷς σκοπὸς ὁ πρῶτος σαφῶς δηλῶσαι καὶ φανώτατα ἐμφανίσαι τὸ πρᾶγμα, μήτε ἀποῤῥήτοις καὶ ἔξω πάτου ὀνόμασι, μήτε τοῖς ἀγοραίοις τούτοις καὶ καπηλικοῖς, ἀλλ᾽ ὡς μὲν τοὺς πολλοὺς συνιέναι, τοὺς δὲ πεπαιδευμένους ἐπαινέσαι· καὶ μὴν καὶ σχήμασι κεκοσμήσθω ἀνεπαχθέσι, καὶ τὸ ἀνεπιτήδευτον μάλιστα ἔχουσιν, ἐπεὶ τοῖς κατηρτυμένοις τῶν ζωμῶν ἐοικότας ἀποφαίνει τοὺς λόγους.

45. Καὶ ἡ μὲν γνώμη κοινωνείτω καὶ προσαπτέσθω τι καὶ ποιητικῆς, παρ᾽ ὅσον μεγαλήγορος καὶ διηρμένη καὶ ἐκείνη, καὶ μάλισθ᾽, ὁπόταν παρατάξεσι καὶ μάχαις



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0037-3

καὶ ναυμαχίαις συμπλέκηται· δεήσει γὰρ τότε ποιητικοῦ τινος ἀνέμου, ἐπουριάσοντος τὰ ἀκάτια, καὶ συνδιοίσοντος ὑψηλὴν καὶ ἐπ' ἄκρων τῶν κυμάτων τὴν ναῦν. Ἡ λέξις δὲ ὅμως ἐπὶ γῆς βεβηκέτω, τῷ μὲν κάλλει καὶ τῷ μεγέθει τῶν λεγομένων συνεπαιρομένη, καὶ ὡς ἔνι μάλιστα ὁμοιουμένη, μὴ ξενίζουσα δὲ, μηδ' ὑπὲρ τὸν καιρὸν ἐνθουσιῶσα· κίνδυνος γὰρ αὐτῇ τότε μέγιστος, παρακινῆσαι καὶ κατενεχθῆναι ἐς τὸν τῆς ποιητικῆς κορύβαντα. Ὥστε μάλιστα πειστέον τηνικαῦτα τῷ χαλινῷ, καὶ σωφρονητέον, εἰδότας, ὡς ἱπποτυφία τις, καὶ ἐν λόγοις πάθος οὐ μικρὸν γίγνεται. ἄμεινον οὖν, ἐφ' ἵππου ὀχουμένῃ τότε τῇ γνώμῃ τὴν ἑρμηνείαν πεζῇ συμπαραθεῖν, ἐχομένην τοῦ ἐφιππίου, ὡς μὴ ἀπολείποιτο τῆς φορᾶς.

46. Καὶ μὴν καὶ συνθήκῃ τῶν ὀνομάτων εὐκράτῳ καὶ μέσῃ χρηστέον, οὔτε ἄγαν ἀφιστάντα καὶ ἀπαρτῶντα· τραχὺ γάρ· οὔτε ῥυθμῷ παρ' ὀλίγον, ὡς οἱ πολλοὶ, συνάπτοντα· τὸ μὲν γὰρ ἐπαίτιον, τὸ δ' ἀηδὲς τοῖς ἀκούουσι.

47. Τὰ δὲ πράγματα αὐτὰ οὐχ, ὡς ἔτυχε, συνακτέον, ἀλλὰ φιλοπόνως καὶ ταλαιπώρως πολλάκις περὶ τῶν αὐτῶν ἀνακρίνοντα, καὶ μάλιστα μὲν παρόντα καὶ ἐφορῶντα· εἰ δὲ μὴ, τοῖς ἀδεκαστότερον ἐξηγουμένοις προσέ-

προσέχοντα, καὶ ὃς εἰκάσειεν ἄν τις ἥκιστα πρὸς χάριν ἢ ἀπέχθειαν ἀφαιρήσειν, ἢ προσθήσειν τοῖς γεγονόσι· κἀνταῦθα ἤδη καὶ στοχαστικός τις καὶ συνθετικὸς τοῦ πιθανωτέρου ἔστω.

48. Καὶ ἐπειδὰν ἀθροίσῃ ἅπαντα, ἢ τὰ πλεῖστα, πρῶτα μὲν ὑπόμνημά τι συνυφαινέτω αὐτῶν, καὶ σῶμα ποιείτω ἀκαλλὲς ἔτι καὶ ἀδιάρθρωτον· εἶτα ἐπιθεὶς τὴν τάξιν, ἐπαγέτω τὸ κάλλος, καὶ χρωννύτω τῇ λέξει, καὶ σχηματιζέτω, καὶ ῥυθμιζέτω.

49. Καὶ ὅλως ἐοικέτω τότε τῷ τοῦ Ὁμήρου Διί, ἄρτι μὲν τῶν ἱπποπόλων Θρηκῶν γῆν ὁρῶντι, ἄρτι δὲ τὴν Μυσῶν. κατὰ ταῦτα γὰρ καὶ αὐτὸς ἄρτι μὲν τὰ Ῥωμαίων ἴδια ὁράτω, καὶ δηλούτω ἡμῖν, οἷα ἐφαίνετο αὐτῷ ἀφ' ὑψηλοῦ ὁρῶντι, ἄρτι δὲ τὰ Περσῶν, εἶτ' ἀμφότερα, εἰ μάχοιντο· καὶ ἐν αὐτῇ δὲ τῇ παρατάξει μὴ πρὸς ἓν μέρος ὁράτω, μήδ' ἐς ἕνα ἱππέα ἢ πεζόν, εἰ μὴ Βρασίδας τις εἴη προπηδῶν, ἢ Δημοσθένης ἀνακόπτων τὴν ἐπίβασιν· ἐς τοὺς στρατηγοὺς μὲν τὰ πρῶτα, καὶ, εἴ τι παρεκελεύσαντο, κἀκεῖνο ἀκουέτω, καὶ ὅπως, καὶ ἥτινι γνώμῃ καὶ ἐπινοίᾳ ἔταξαν· ἐπειδὰν δὲ ἀναμιχθῶσι, κοινὴ ἔστω ἡ θέα. καὶ ζυγοστατείτω τότε, ὥσπερ ἐν τρυτάνῃ, τὰ γιγνόμενα, καὶ συνδιωκέτω, καὶ συμφευγέτω.

50. Καὶ πᾶσι τούτοις μέτρον ἐπέσω, μὴ ἐς κόρον, μήδ' ἀπειροκάλως, μηδὲ νεαρῶς, ἀλλὰ ῥαδίως ἀπολυέσθω. καὶ στήσας ἐνταῦθά που ταῦτα, ἐπ' ἐκεῖνα μεταβαινέτω, ἢν κατεπείγῃ, εἶτα ἐπανίτω λυθεὶς, ὁπόταν ἐκεῖνα καλῇ. καὶ πρὸς πάντα σπευδέτω, καὶ ὡς δυνατὸν ὁμοχρονείτω. καὶ μεταπετέσθω ἀπ' Ἀρμενίας μὲν εἰς Μηδίαν, ἐκεῖθεν δὲ ῥοιζήματι ἑνὶ ἐς Ἰβηρίαν, εἶτα ἐς Ἰταλίαν, ὡς μηδενὸς καιροῦ ἀπολείποιτο.

51. Μάλιστα δὲ κατόπτρῳ ἐοικυῖαν παρασχέσθω τὴν γνώμην, ἀθόλῳ, καὶ στιλπνῷ, καὶ ἀκριβεῖ τὸ κέντρον, καὶ ὁποίας ἂν δέξηται τὰς μορφὰς τῶν ἔργων τοιαῦτα καὶ δεικνύτω αὐτά· διάστροφον δὲ, ἢ παράχρουν, ἢ ἑτερόσχημον μηδέν. οὐ γὰρ ὥσπερ τοῖς ῥήτορσι γράφουσιν, ἀλλὰ τὰ μὲν λεχθησόμενά ἐστι, καὶ εἰρήσεται· πέπρακται γὰρ ἤδη· δεῖ δὲ τάξαι καὶ εἰπεῖν αὐτά. ὥστε οὐ, τί εἴπωσι, ζητητέον αὐτοῖς, ἀλλ' ὅπως εἴπωσιν. Ὅλως δὲ νομιστέον, τὸν ἱστορίαν συγγράφοντα Φειδίᾳ ἢ Πραξιτέλει χρῆναι ἐοικέναι, ἢ Ἀλκαμένει, ἢ τῳ ἄλλῳ ἐκείνων· οὐδὲ γὰρ οὐδ' ἐκεῖνοι χρυσὸν, ἢ ἄργυρον, ἢ ἐλέφαντα, ἢ τὴν ἄλλην ὕλην ἐποίουν, ἀλλ' ἡ μὲν ὑπῆρχε καὶ προὐποβέβλητο, Ἠλείων, ἢ Ἀθηναίων, ἢ Ἀργείων πεπορισμένων· οἱ δὲ ἔπλαττον μόνον, καὶ ἔπριον τὸν ἐλέφαντα, καὶ ἔξεον, καὶ ἐκόλλων,

λων, καὶ ἐῤῥύθμιζον, καὶ ἐπήνθιζον τῷ χρυσῷ. Καὶ τοῦτο ἦν ἡ τέχνη αὐτῶν, ἐς δέον οἰκοδομήσασθαι τὴν ὕλην. Τοιοῦτο δή τοι καὶ τὸ τοῦ συγγραφέως ἔργον, εἰς καλὸν διαθέσθαι τὰ πεπραγμένα, καὶ εἰς δύναμιν ἐναργέστατα ἐπιδεῖξαι αὐτά. καὶ ὅταν τις ἀκροώμενος οἴηται μετὰ ταῦτα, ὁρᾶν τὰ λεγόμενα, καὶ μετὰ τοῦτο ἐπαινῇ, τότε δὴ τότε ἀπηκρίβωται, καὶ τὸν οἰκεῖον ἔπαινον ἀπείληφε τὸ ἔργον τῷ τῆς ἱστορίας Φειδίᾳ.

52. Πάντων δὲ ἤδη παρεσκευασμένων, καὶ ἀπροοιμίαστον μέν ποτε ποιήσεται τὴν ἀρχὴν, ὅταν μὴ πάνυ κατεπείγῃ τὸ πρᾶγμα, προδιοικήσασθαί τι ἐν τῷ προοιμίῳ· δυνάμει δὲ καὶ τότε φροιμίῳ χρήσεται, τῷ ἀποσαφοῦντι περὶ τῶν λεκτέων.

53. Ὁπόταν δὲ καὶ φροιμιάζηται, ἀπὸ δυοῖν μόνοιν ἄρξεται, οὐχ ὥσπερ οἱ ῥήτορες ἀπὸ τριῶν, ἀλλὰ, τὸ τῆς εὐνοίας παρεὶς, προσοχὴν ἢ εὐμάθειαν εὐπορίσει τοῖς ἀκούουσι. προσέξουσι μὲν γὰρ αὐτῷ, ἢν δείξῃ, ὡς περὶ μεγάλων, ἢ ἀναγκαίων, ἢ οἰκείων, ἢ χρησίμων ἐρεῖ· εὐμαθῆ δὲ καὶ σαφῆ τὰ ὕστερα ποιήσει, τὰς αἰτίας προεκτιθέμενος, καὶ περιορίζων τὰ κεφάλαια τῶν γεγενημένων.

 54. Τοιοῦ-

54. Τοιούτοις προοιμίοις οἱ ἄριστοι τῶν συγγραφέων ἐχρήσαντο· Ἡρόδοτος μὲν, ὡς μὴ τὰ γενόμενα ἐξίτηλα τῷ χρόνῳ γένηται, μεγάλα καὶ θαυμαστὰ ὄντα, καὶ ταῦτα, νίκας ἑλληνικὰς δηλοῦντα, καὶ ἥττας βαρβαρικάς· Θουκυδίδης δὲ, μέγαν τε καὶ αὐτὸς ἐλπίσας ἔσεσθαι, καὶ ἀξιολογώτατον, καὶ μείζω τῶν προγεγενημένων ἐκεῖνον τὸν πόλεμον· καὶ γὰρ παθήματα ἐν αὐτῷ μεγάλα ξυνέβη γενέσθαι.

55. Μέγα δὲ, τὸ προοίμιον ἀνάλογον τοῖς πράγμασιν, ἢ μηκυνόμενον, ἢ βραχυνόμενον. Εὐαφὴς δὲ καὶ εὐάγωγος ἔστω ἡ ἐπὶ τὴν διήγησιν μετάβασις· ἅπαν γὰρ ἀτεχνῶς τὸ λοιπὸν σῶμα τῆς ἱστορίας διήγησις μακρά ἐστιν· ὥστε ταῖς τῆς διηγήσεως ἀρεταῖς κατακεκοσμήσθω, λείως τε καὶ ὁμαλῶς προϊοῦσα, καὶ αὐτῇ ὁμοίως, ὥστε μὴ προὔχειν, μήτε κοιλαίνεσθαι. ἔπειτα τὸ σαφὲς ἐπανθείτω τῇ λέξει, ὡς ἔφην, μεμηχανημένον καὶ τῇ συμπεριπλοκῇ τῶν πραγμάτων· ἀπόλυτα γὰρ καὶ ἐντελῆ πάντα ποιήσει. καὶ τὸ πρῶτον ἐξεργασάμενος, ἐπάξει τὸ δεύτερον, ἐχόμενον αὐτοῦ, καὶ ἁλύσεως τρόπῳ συνηρμοσμένον, ὡς μὴ διακεκόφθαι, μηδὲ διηγήσεις πολλὰς εἶναι, ἀλλήλαις παρακειμένας, ἀλλ' ἀεὶ τὸ πρῶτον τῷ δευτέρῳ μὴ γειτνιᾶν μόνον, ἀλλὰ καὶ κοινωνεῖν καὶ ἀνακεκρᾶσθαι κατὰ τὰ ἄκρα.

56. Τά-

Si quis velit scire, quae sit brevitas scriptoris maxima, debet comparare duos scriptores, qui eandem rem tractavere, ut Latinum aliquem et graecum sane Livium et Dionysium Halicarnassensem.



56. Τάχος ἐπὶ πᾶσι χρήσιμον, καὶ μάλιστα, εἰ μὴ ἀπορία τῶν λεκτέων εἴη. καὶ τοῦτο πορίζεσθαι χρὴ, μὴ τοσοῦτον ἀπὸ τῶν ὀνομάτων ἢ ῥημάτων, ὅσον ἀπὸ τῶν πραγμάτων· λέγω δὲ, εἰ παραθέοις μὲν τὰ μικρὰ καὶ ἧττον ἀναγκαῖα, λέγοις δ' ἱκανῶς τὰ μεγάλα. μᾶλλον δὲ καὶ παραλειπτέον πολλά. οὐδὲ γὰρ, ἢν ἑστιᾷς τοὺς φίλους, καὶ πάντα ᾖ παρεσκευασμένα, διὰ τοῦτο ἐν μέσοις τοῖς πέμμασι, καὶ τοῖς ὀρνέοις, καὶ λοπάσι τοσαύταις, καὶ συσὶν ἀγρίοις, καὶ λαγῳοῖς, καὶ ὑπογαστρίοις, καὶ σαπέρδην ἐνθήσεις, καὶ ἔτνος, εἴ τι κἀκεῖνο παρεσκεύαστο, ἀμελήσεις δὲ τῶν εὐτελεστέρων.

57. Μάλιστα δὲ σωφρονητέον ἐν ταῖς τῶν ὀρῶν, ἢ τειχῶν, ἢ ποταμῶν ἑρμηνείαις, ὡς μὴ δύναμιν λόγων ἀπειροκάλως παρεπιδείκνυσθαι δοκοίης, καὶ τὸ σαυτοῦ δρᾶν, παρεὶς τὴν ἱστορίαν· ἀλλ', ὀλίγον προσαψάμενος τοῦ χρησίμου καὶ σαφοῦς ἕνεκα, μεταβήσῃ, ἐκφυγὼν τὸν ἰξὸν τὸν ἐν τῷ πράγματι, καὶ τὴν τοιαύτην ἅπασαν λιχνείαν, οἷον ὁρᾷς τι καὶ Ὅμηρος ὡς μεγαλόφρων ποιεῖ· καίτοι ποιητὴς ὤν, παραθεῖ τὸν Τάνταλον, καὶ τὸν Ἰξίονα, καὶ Τιτυὸν, καὶ τοὺς ἄλλους· εἰ δὲ Παρθένιος, ἢ Εὐφορίων, ἢ Καλλίμαχος ἔλεγε, πόσοις ἂν, οἴει, ἔπεσι τὸ ὕδωρ ἄχρι πρὸς τὸ χεῖλος τοῦ Ταντάλου ἤγαγεν; εἶτα πόσοις ἂν Ἰξίονα ἐκύ-



Lasciuia l. luxuria scriptoris i.e. nimia ubertas.

λισε; Μᾶλλον δὲ, ὁ Θουκυδίδης αὐτὸς, ὀλίγα τῷ τοιούτῳ εἴδει τοῦ λόγου χρησάμενος, σκέψαι, ὅπως εὐθὺς ἀφίςαται, ἢ μηχάνημα ἑρμηνεύσας, ἢ πολιορκίας σχῆμα δηλώσας, ἀναγκαῖον καὶ χρειῶδες ὂν, ἢ ἔτι πόλεων σχῆμα, ἢ Συρακουσίων λιμένα. ὅταν μὲν γὰρ τὸν λοιμὸν διηγῆται, καὶ μακρὸς εἶναι δοκῇ, σὺ τὰ πράγματα ἐννόησον· εἴσῃ γὰρ οὕτω τὸ τάχος, καὶ ὡς φεύγοντος ὅμως ἐπιλαμβάνεται αὐτοῦ τὰ γεγενημένα, πολλὰ ὄντα.

58. Ἦν δέ ποτε καὶ λόγους ἐροῦντά τινα δεήσῃ εἰσάγειν, μάλιςα μὲν ἐοικότα τῷ προσώπῳ, καὶ τῷ πράγματι οἰκεῖα λεγέσθω· ἔπειτα ὡς σαφέςατα καὶ ταῦτα· πλὴν ἐφεῖταί σοι τότε καὶ ῥητορεῦσαι, καὶ ἐπιδεῖξαι τὴν τῶν λόγων δεινότητα.

59. Ἔπαινοι μὲν γὰρ ἢ ψόγοι πάνυ πεφεισμένοι, καὶ περιεσκεμμένοι, καὶ ἀσυκοφάντητοι, καὶ μετὰ ἀποδείξεων, καὶ ταχεῖς, καὶ μὴ ἄκαιροι, ἐπεὶ ἔξω τοῦ δικαςηρίου ἐκεῖνοί εἰσι, καὶ τὴν αὐτὴν Θεοπόμπῳ αἰτίαν ἕξεις, φιλαπεχθημόνως κατηγοροῦντι τῶν πλείςων, καὶ διατριβὴν ποιουμένῳ τὸ πρᾶγμα, ὡς κατηγορεῖν μᾶλλον, ἢ ἱςορεῖν τὰ πεπραγμένα.

60. Καὶ μὴν καὶ μῦθος εἴ τις παρεμπέσοι, λεκτέος μὲν, οὐ μὴν πιςωτέος πάντως,

ἀλλ

ἀλλ' ἐν μέσῳ θετέος τοῖς, ὅπως ἂν ἐθέλωσιν, εἰκάσουσι περὶ αὐτοῦ· σοί δ' ἀκίνδυνος, καὶ πρὸς οὐδέτερον ἐπιῤῥεπέστερος.

61. Τὸ δ' ὅλον ἐκείνου μοι μέμνησο· πολλάκις τὸ αὐτὸ ἐρῶ· καὶ μὴ πρὸς τὸ παρὸν μόνον ὁρῶν γράφε, ὡς οἱ νῦν ἐπαινέσωνταί σε καὶ τιμήσωσιν, ἀλλὰ, τοῦ σύμπαντος αἰῶνος ἐστοχασμένος, πρὸς τοὺς ἔπειτα μᾶλλον σύγγραφε, καὶ παρ' ἐκείνων ἀπαίτει τόν μισθὸν τῆς γραφῆς, ὡς λέγηταί καὶ περὶ σοῦ· Ἐκεῖνος μέντοι ἐλεύθερος ἀνὴρ ἦν, καὶ παῤῥησίας μεστὸς, οὐδὲν οὐδὲ κολακευτικὸν, οὐδὲ δουλοπρεπὲς, ἀλλ' ἀλήθεια ἐπὶ πᾶσι. Τοῦτ', εἰ σωφρονοίη τις, ὑπὲρ πάσας τὰς νῦν ἐλπίδας θεῖτο ἂν, οὕτως ὀλιγοχρονίους οὔσας.

62. Ὁρᾶς τὸν Κνίδιον ἐκεῖνον ἀρχιτέκτονα, οἷον ἐποίησεν; Οἰκοδομήσας γὰρ τὸν ἐπὶ τῇ Φάρῳ πύργον, μέγιστον καὶ κάλλιστον ἔργων ἁπάντων, ὡς πυρσεύοιτο ἀπ' αὐτοῦ τοῖς ναυτιλλομένοις ἐπὶ πολὺ τῆς θαλάττης, καὶ μὴ καταφέροιντο εἰς τὴν Παραιτονίαν, πάγχαλεπον, ὥς φασιν, οὖσαν, καὶ ἄφευκτον, εἴ τις ἐμπέσοι εἰς τὰ ἕρματα, οἰκοδομήσας οὖν τὸ ἔργον, ἔνδοθεν μὲν κατὰ τῶν λίθων τὸ αὐτοῦ ὄνομα ἐπέγραψεν· ἐπιχρίσας δὲ τιτάνῳ, καὶ ἐπικαλύψας, ἐπέγραψε τοὔνομα τοῦ τότε βασιλεύοντος, εἰδὼς, ὅπερ καὶ ἐγένετο, πάνυ

ὀλίγου

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0045-7

ὀλίγου χρόνου συνεκπεσούμενα μὲν τῷ χρίσματι τὰ γράμματα, ἐκφανησόμενον δὲ „Σώστρατος Δεξιφάνους, Κνίδιος, θεοῖς σωτῆρσιν ὑπὲρ τῶν πλοϊζομένων„ Οὕτως οὐδ' ἐκεῖνος ἐς τὸν τότε καιρὸν, οὐδὲ τὸν αὑτοῦ βίον τὸν ὀλίγον ἑώρα, ἀλλ' εἰς τὸν νῦν, καὶ τὸν ἀεὶ, ἄχρις ἂν ἑστήκῃ ὁ πύργος, καὶ μένῃ αὐτοῦ ἡ τέχνη.

63. Χρὴ τοίνυν καὶ τὴν ἱστορίαν οὕτω γράφεσθαι, σὺν τῷ ἀληθεῖ μᾶλλον πρὸς τὴν μέλλουσαν ἐλπίδα, ἤπερ σὺν κολακείᾳ πρὸς τὸ ἡδὺ τοῖς νῦν ἐπαινουμένοις. Οὗτός σοι κανὼν καὶ στάθμη ἱστορίας δικαίας. Καὶ εἰ μὲν σταθμήσονταί τινες αὐτῇ, εὖ ἂν ἔχοι, καὶ εἰς δέον ἡμῖν γέγραπται· εἰ δὲ μὴ, κεκύλισται ὁ πίθος ἐν Κρανείῳ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0047-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0048-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0049-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0050-5

128812

X2255580

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0051-0

12 8812

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0052-6

# LVCIANVS

DE

# CONSCRIBENDA HISTORIA

LIPSIAE

EX OFFICINA LANGENHEMIA

1768

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113532-p0053-1